A rè vtilia & bona erant, ea & docebat & faciebat ipſe. Quid igitur Dominus, veritas, lux, in mundum adueniens negotiatus eſt? Incorruptam ſeruauit in virginitate carnem, ſic eam exornans: Et nos vtique ſi ad imaginem effingi Dei volumus, Chriſti contendamus virginitatem honorare. ſimilitudo ſiquidem cum Deo corruptionis fuga eſt. B Enimuerò Principem Virginem, non minus quàm Principem Paſtorem, & Principem Prophetam, ſeſe in carne humana exhibuiſſe Dei verbum Eccleſiæ ipſe Chriſti ſpiritu inſtinctus nobis inſinuat in libro Apocalypſis Ioannes, dicens: *Et vidi, & ecce Agnus ſtans ſupra montem Sion, & cum eo* C *centum quadraginta quatuor millia, habentes nomen eius & nomen Patris eius ſcriptum in frontibus ſuis. & audiui vocem è cælo tamquam vocem aquarum multarum, & tamquam vocem tonitrui magni. & vox quam audiui, ſicut vox citharœdorum citharizantium in citharis ſuis. & cantabant* D *quaſi canticum nouum in conſpectu throni & quatuor animalium & ſeniorum, & nemo poterat diſcere canticum, niſi illa centum quadraginta quatuor millia, qui empti ſunt de terra. Hi ſunt qui cum mulieribus non ſunt coinquinati, virgines enim ſunt. Hi ſequuntur agnum quocumque ie-*

Apoc. 14.

A θῶς ὠφέλιμα καὶ καλά, ταῦτα ἐδίδασκε καὶ ἐποίει. τί οὖν ὁ κύριος, ἡ ἀλήθεια, τὸ φῶς, εἰς τὸν κόσμον ἐπραγματεύσατο παρελθών; ἀφθορίαν ἐφύλαξεν ἐν παρθενίᾳ τὴν σάρκα κοσμήσας· καὶ ἡμεῖς ἄρα εἰ μέλλοιμεν καθ᾽ ὁμοίωσιν ἔσεσθαι τοῦ θεοῦ, τοῦ Χριστοῦ φιλοτιμώμεθα παρθενίαν τιμᾶν. ὁμοίωσις γὰρ θεῷ, B φθορᾶς ἀποφυγή· ὅτι δὲ καὶ ἀρχιπάρθενος, ὃν τρόπον καὶ ἀρχιποίμην, καὶ ἀρχιπροφήτης, ἐνανθρωπήσας γέγονεν ὁ λόγος τῆς ἐκκλησίας, καὶ ὁ χριστόληπτος ἡμῖν παρίστησιν ἐν βίβλῳ τῆς ἀποκαλύψεως Ἰωάννης, λέγων· καὶ εἶδον, καὶ ἰδοὺ τὸ ἀρνίον ἑστηκὸς ἐπὶ τὸ ὄρος Σιών, καὶ μετ᾽ αὐτοῦ ἑκατὸν τεσσαράκοντα C τέσσαρες χιλιάδες ἔχουσαι τὸ ὄνομα αὐτοῦ καὶ τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ γεγραμμένον ἐπὶ τῶν μετώπων αὐτῶν· καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ ὡς φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν βροντῆς μεγάλης· καὶ ἡ φωνὴ ἣν ἤκουσα, φωνὴ κιθαρῳδῶν κιθαριζόντων ἐν ταῖς κιθάραις αὐτῶν, καὶ ᾄδουσιν ὡς ᾠδὴν και- D νὴν ἐνώπιον τοῦ θρόνου, καὶ ἐνώπιον τῶν τεσσάρων ζώων, καὶ τῶν πρεσβυτέρων· καὶ οὐδεὶς ἠδύνατο μαθεῖν τὴν ᾠδήν, εἰ μὴ αἱ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες, οἱ ἠγορασμένοι ἀπὸ τῆς γῆς. οὗτοί εἰσιν οἳ μετὰ γυναικῶν οὐκ ἐμολύνθησαν· παρθένοι γάρ εἰσι. οὗτοί εἰσιν ἀκολουθοῦντες τῷ ἀρνίῳ, ὅπου ἂν ὑ-

πάγῃ. τοῦ χοροῦ τῶν παρθένων ἐξάρ- A
χοντα δεικνύων τὸν κύριον. ἐπίστησον
δὲ πρὸς τούτοις, πῶς τὸ ἀξίωμα
τῆς παρθενίας μέγιστον παρὰ τῷ θεῷ·
οὗτοι ἠγοράσθησαν ἀπὸ τῶν ἐθνῶν ἀ-
παρχὴ τῷ θεῷ καὶ τῷ ἀρνίῳ· καὶ ἐν
τῷ στόματι αὐτῶν οὐχ εὑρέθη ψεῦ-
δος· ἄμωμοι γάρ εἰσιν, καὶ ἀκο-
λουθοῦσί φησι, τῷ ἀρνίῳ, ὅπου ἂν
ὑπάγῃ. σαφῶς ἡμᾶς κἀντεῦθεν B
διδάσκειν βούλεται, ὅτι ἐν ἀριθμῷ
τοσούτῳ, τουτέστιν ἑκατὸν καὶ τεσσα-
ράκοντα καὶ τέσσαρσι χιλιάσιν, ἀπά-
νωθεν τὸ πλῆθος περιώρισται τῶν παρ-
θένων, τῶν ἄλλων ἁγίων εἰς πλῆθος
ἀόριστον ὀχλιζομένων. τί γὰρ παρεί-
γρᾳ καὶ περὶ τῶν λοιπῶν διαλεγόμε-
μενος, προσεκτέον. καὶ εἶδον ἀπὸ πά-
σης γλώσσης, καὶ φυλῆς, καὶ παντὸς C
ἔθνους πλῆθος πολύ· ἀριθμῆσαι αὐ-
τὸ οὐδεὶς ἠδύνατο. ἠκούσω συνέστη-
κεν, ὡς ἔφην, ἐπὶ μὲν τῶν ἄλλων
ἁγίων αὐτὸν πληθὺν ἄφατον εἰσ-
άγειν· ἐπὶ δὲ τῶν ἐν παρθενίᾳ, βρα-
χύτατον ἀριθμὸν ὡς πρὸς σύγκρι-
σιν τῶν εἰς ἀναρίθμητον πλῆθος συν-
τελούντων. τοῦτο, ὦ Ἀρετή, ὁ παρ'
ἐμοῦ σοι παρθενίας, ἔφη, λόγος· εἰ D
δέ τι παρέλιπον, ἀναπληρούτω δια-
δεχομένη με Θεοφίλα.

rit. En vt Chori virginum prin-
cipem oſtendit Dominum. A-
nimaduerte deinde, quàm ve-
rè maximum ſit virginitatis a-
pud Deum pretium: *Hi empti
ſunt ex gentibus primitiæ Deo &
Agno, & in ore ipſorum non eſt
inuentum mendacium, ſine ma-
cula enim ſunt, & ſequuntur*,
inquit, *Agnum quocumque ie-
rit*. Clarè nos & hinc docere
vult, numero tantulo, nimi-
rum centum quadraginta qua-
tuor millium definitam à prin-
cipio fuiſſe multitudinem vir-
ginum: ſanctis aliis in multi-
tudinem infinitam multiplica-
tis. Quid enim de aliis pergens
inſinuet, conſiderandum. *Et vi-
di ex omni linguâ, & tribu, &
ex omni gente, multitudinem in
gentem, quam dinumerare nemo
poterat*. Conſtat igitur, vt di-
xi, eum aliorum quidem ſan-
ctorum multitudinem innume-
rabilem inducere, Virginum
verò exiguiſſimum numerum
in comparatione immenſæ mul-
titudinis aliorum. Hæc mea, ô
Arete, de virginitate, inquit,
oratio eſt, in qua ſi quid omiſi,
ſuppleat illud quæ me excipiet
Theophila.

THEOPHILA.

ORATIO II.

DIXISSE igitur, referebat, Theophilam. Videtur mihi neceſſarium, quoniam Marcella quam bene incœperat orationem non ſufficienter expleuit, conari me idoneam ei clauſulam imponere. Etenim ad virginitatem profeciſſe hominem, Deo illum certis temporum vicibus & gradibus promouente, præclarè mihi diſputatum apparet. quod autem intulit, non eſſe deinceps operam ab vllo generationi dandam, haud probare poſſum. Manifeſtè ſiquidem ex Scripturis intelligere mihi videor, noluiſſe Dei Verbum, poſtquam virginitatem mundo intulit, omnino abrogare coniugium. Non enim quoniam ſideribus Luna maior eſt, continuò ſtellarum lumen ceterarum exſtinguitur. Incipiamus autem à Geneſi, vt antiquiſſimæ Scripturæ ſuum ordinis primatum aſſignemus. Profectò Dei oraculum & præceptum illud propagandi generis, etiam hodie viget & ſeruatur. vtique Deo his etiam temporibus naſcentes homines condente. Hoc enim planè manifeſtum eſt, Deum nunc cùm maximè orbem ſuam picturam expingere, nec manum de tabula detraxiſſe. ſicut Dominus Ieſus docuit: *Pater meus vſquemodo operatur*, di-

ΘΕΟΦΙΛΑ.

ΛΟΓΟΣ Β'.

ΕΙΠΕΙΝ οὖν ἔφη τὴν Θεοφίλαν ὅτι δοκεῖ μοι ἀναγκαῖον εἶναι, ἐπειδὴ καλῶς ἡ Μαρκέλλα ὁρμήσασα ἐπὶ τὸν λόγον, οὐχ ἱκανῶς ἐπλήρωσεν, ἐμὲ πει- B ρᾶσθαι τέλος ἐπιθεῖναι τῷ λόγῳ. τὸ μὲν γὰρ εἰς παρθενίαν ἐκ προβάσεως προκόψαι τὸν ἄνθρωπον θεοῦ παρορμήσαντος αὐτὸν κατὰ καιρὸν καὶ καιρὸν, δοκεῖ μοι καλῶς διελέχθαι· τὸ δὲ μηκέτι χρῆναι λέγειν τὸ ἐντεῦθεν τεκνογονεῖν, οὐ καλῶς. ἐγὼ γὰρ καθεωρακέναι μοι δοκῶ σα- C φῶς ἀπὸ τῶν γραφῶν, ὅτι παρθενίας ἐλθούσης ὁ λόγος οὐκ ἀνεῖκε πάντη τὴν τεκνογονίαν. οὐ γὰρ ἐπειδὴ τῶν ἀστέρων ἡ σελήνη μείζων ἐστὶ, παρὰ τοῦτο τῶν ἄλλων ἀστέρων τὸ φῶς ἀναιρεῖται. ἀρξώμεθα δὲ ἀπὸ τῆς Γενέσεως, ἵνα δὴ καὶ πρεσβεύωμεν μᾶλλον τὴν γραφήν. ἡ γὰρ ἀπόφασις τοῦ D θεοῦ, καὶ τὸ διάταγμα τὸ ἐπὶ τῆς τεκνοποιίας, ὁμολογουμένως μέχρι καὶ νῦν συμπληροῦται· πλάττοντος τὸν ἄνθρωπον ἔτι τοῦ δημιουργοῦ. τοῦτο γὰρ καὶ πάντη καταφανὲς, ὡς ἄρα τὸν κόσμον ἀκμὴν ἐργάζεται ζωγραφῶν ὁ θεὸς, ὥσπερ δὴ καὶ ὁ κύριος ἐδίδαξεν, ἕως ἄρτι ἐργάζεται ὁ πατήρ μου, λέγων.

γων. ἀλλ' ὁπόταν ὥσπερ ποταμοὶ ἤδη λωφήσωσιν εἰς τὸ τῆς θαλάσσης εἰσβάλλοντες ἀγγεῖον, καὶ τὸ φῶς τελείως χωρισθῇ τοῦ σκότους· νῦν γὰρ ἔτι διαχωρίζεται· καὶ τοὺς καρποὺς μετὰ τῶν ἑρπετῶν καὶ τετραπόδων ἀναδιδόναι παύσεται λοιπὸν ἡ ξηρά, καὶ ὁ προωρισμένος τῶν ἀνθρώπων ἀριθμὸς ἀναπληρωθῇ· τότε δὴ λοιπὸν καὶ τὸ τῆς παιδοποιΐας ἐφεκτέον. νῦν δὲ εἰς τὴν εἰκόνα τοῦ θεοῦ τὸν ἄνθρωπον ἀνάγκη συνεργεῖν, ἔτι συνεστῶτος τοῦ κόσμου καὶ τεκταινομένου. αὐξάνεσθε γὰρ, ἔφη, καὶ πληθύνεσθε. καὶ οὐ χρὴ τὸ διάταγμα βδελύσσεσθαι τοῦ δημιουργοῦ, ἐξ οὗ δὴ καὶ αὐτοὶ γεγόναμεν· ἀρχὴ γὰρ γενέσεως ἀνθρώπων ἡ τοῦ σπέρματος εἰς τὰς αὔλακας τῆς μήτρας γίνεται καταβολὴ, ὅπως τὸ ἐκ τῶν ὀστέων ὀστοῦν, καὶ ἡ ἐκ τῆς σαρκὸς σὰρξ ἑτέρου ἀνθρώπου ἀοράτῳ ληφθέντα δυνάμει πάλιν ὑπὸ τοῦ αὐτοῦ τεχνίτου δημιουργηθῶσι. ταύτῃ γὰρ ἐκείνην ἡγητέον πληροῦσθαι τὴν φωνήν· τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. τοῦτο γὰρ ἴσως ᾐνίσσετο· καὶ ἡ κατὰ τὸν ὕπνον ἔκστασις ἐπιβληθεῖσα τῷ πρωτοπλάστῳ, προδιατυπουμένη τὴν ἐπὶ τῆς φιλοτησίας θέλξιν τοῦ ἀνδρὸς, ὁπότε διψήσας τέκνων ἐξίσταται, ταῖς παιδογόνοις θηλυνόμενος καθ' ὕπνον ἡδοναῖς, ἵνα πάλιν ἀπὸ τῶν ὀστῶν αὐτοῦ καὶ τῆς σαρκὸς ἀποσπα-

Meth. Conu. Virg.

A ceus. Verùm vbi flumina curſum ſuum abſoluerint, ſéque maris vaſto alueo reddiderint; vbi lumen perfectè ſeparatum à tenebris fuerit (nunc enim adhuc in iſtâ ſeparatione laboratur) vbi fructus ſuos cum reptilibus & quadrupedibus edere deinceps arida deſinet, & expletus erit præfinitus hominum B numerus: tunc ſanè à generando abſtinendum erit. Interim porrò allaborare hominem pro ſe neceſſe eſt, adhuc in manu opificis ſtante mundo, & eius architecturâ nouis quotidie ſurgente molibus vſque ad deſcriptum delineatæ olim, necdum in opere redditæ ideæ modum. Quare etiamnum præcipit: *Creſcite & multiplicamini.* Nec fas C eſt præceptum abominari Creatoris, ex quo & ipſæ exiſtimus. Principium enim generationis omnium hominum ſeminis in genitale aruum deiectio eſt, vt os ex oſſibus, & ex carne caro, arcanâ vi deſumpta, turſus in alterum hominem ab eodem artifice agente condantur. Sic enim impleri putandum eſt eam ſen- D tentiam: *Hoc nunc os ex oſſibus meis, & caro de carne mea.* Id enim, credo, innuebat illa homini primo per ſomnum iniecta extaſis, præfigurans ex amore voluptatem viri, quando libidine correptus coëundi, extra ſe velut proſilit genitricibus effeminatus per concubitum deliciis, vt rurſum ab oſſibus eius & carne decerptus

delibatúſque alius, vt dixi, exiſtat homo. Turbatâ ſiquidem harmoniâ corporum titillationibus coitûs, vt qui nuptiale opus experti ſunt, nos docent, medulloſa quæque ac prolifica pars ſanguinis, quod os quoddam liquidum eſt, ex cunctis coacta membris, ſpumoſo coagulo concreſcens, per naturales meatus in viuam fœminæ humum expluitur. Meritò propter hoc derelicturus dictus eſt homo patrem & matrem, vi magnâ videlicet abreptus aliorſum, ac planè cunctorum oblitus, dum coniugalibus mulieri agglutinatus complexibus, totus in poteſtate concupiſcentiæ genitricis eſt: ſic tollendam coſtam diuino præbens artifici, vt in filio rurſus idem pater appareat. Quamobrem creante etiamnum quotidie per nuptialem congreſſum hominem Deo, quomodo non temerarium fuerit abominari generationem, cui ſuas immaculatas immiſcere manus indignum Omnipotens Creator

Ierem. 1. 5. haud duxerit? *Priuſquam, enim inquit, te formarem in vtero, noui te*, Ieremiam alloquens. Iobo verò ait: *Num-*

Iob. 38. 14. edit. LXX. *quid tu accepto limo effinxiſti animal, & vocale illud feciſti ſuper terram?* Iobus autem contrà Deo ſupplex accidit hu-

Iob. 10. 8. militer dicens: *Manus tuæ fecerunt me & plaſmauerunt me.* Quomodo verò non abſurdum

A θεὶς ἕτερος ἄνθρωπος, ὡς ἔφην, ἀναπληρωθῇ. ἐκταρασσομένης γὰρ τῆς ἁρμονίας τῶν σωμάτων ἐν τοῖς κατὰ τὴν συνουσίαν ἐρεθισμοῖς, ὡς οἱ τετελεσμένοι τὸν γαμήλιον ἡμᾶς διδάσκουσι πλείω, πᾶν τὸ μυελῶδες τοῦ αἵματος καὶ γονιμώτατον, ὅπερ ἐστὶν ὑγρὸν ὀστοῦν, ἐκ πάντων ἀθροιζόμενον τῶν με-

B λῶν, ἀφροποιηθὲν καὶ θρομβωθὲν διὰ τῶν παιδογόνων ὀργάνων εἰς τὴν ἔμψυχον τῆς θηλείας ἐξύεται γῆν. εἰκότως ἄρα ἕνεκεν τούτου καταλιπεῖν λέλεκται τὸν πατέρα καὶ τὴν μητέρα, τότε πάντων ἀθρόως ἀμνημονήσας, ὅτε φιλοστόργοις ἑνούμενος τῇ γυναικὶ συμπλοκαῖς, κάτοχος ἐπιθυμίας

C γίνεται γεννητικῆς, παρέχων ἀφαιρεῖσθαι τῷ θείῳ τὴν πλευρὰν δημιουργῷ, ὅπως ἐξ υἱοῦ δὴ καὶ αὐτὸς ὁ πατὴρ πάλιν ἐκφανῇ. οὐκοῦν εἰσέτι πλάσσοντος καὶ νῦν δὴ τὸν ἄνθρωπον τοῦ θεοῦ, πῶς οὐ τολμηρὸν τὸ βδελύσσεσθαι τὴν παιδουργίαν, ἣν αὐτὸς οὐκ ἐπαισχύνεται ταῖς ἀμιάντοις ὁ παντοκράτωρ ἐρ-

D γαζόμενος χερσί; πρὸ τοῦ γάρ με πλάσαι σε ἐν κοιλίᾳ, ἐπίσταμαί σε, τῷ Ἱερεμίᾳ φησί. τῷ δὲ Ἰώβ· μὴ σὺ λαβὼν πηλὸν, ἔπλασας ζῷον, καὶ λαλητὸν αὐτὸ ἐποίησας, ἔφη, ἐπὶ τῆς γῆς; καὶ ὁ Ἰὼβ δὲ πρὸς αὐτὸν ἱκετικῶς φέρεται λέγων τό· αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με. πῶς δ' οὐκ ἄτοπον

ἀπαγορεύεσθαι γάμων συναλλαγάς, προσδοκωμένων ἔτι καὶ μεθ' ἡμᾶς ἔσεσθαι μαρτύρων, καὶ τῶν ἀντιταττομένων τῷ πονηρῷ, δι' οὓς δὴ καὶ τὰς ἡμέρας ὁ λόγος ἐπηγγείλατο κολοβωθήσεσθαι; εἰ γὰρ φαῦλον, ὡς ἔφης, ἀπεντεῦθεν νενόμισται τῷ θεῷ τὸ παιδοσπορεῖν, δι' ἣν αἰτίαν οἱ παρὰ δόγμα φυόμενοι καὶ τὴν βουλὴν τὴν θείαν, εὐάρεστοι δυνήσονται παραστῆναι τῷ θεῷ; ἀνάγκη γὰρ εἶναι κίβδηλον, ἀλλὰ μὴ θεοφυὲς τὸ τεχθέν, εἰ παρὰ τὴν γνώμην καὶ τὸ διάταγμα, δίκην παραχαράγματος, πλάττεται τῆς δυνάμεως, ἵνα μὴ καὶ ἀνθρώποις δυνάσθαι δῶμεν ἀνθρωποπλαστεῖν. καὶ ἡ Μαρκέλλα ὑπολαβοῦσα, ὦ Θεοφίλα, μέγα σφάλμα, ἔφη, καὶ ἐναντίον οἷς εἶπας ἀναφαίνεται· καὶ οἴει λεληθέναι περιωσαμένη τηλικοῦτον νέφος. ἥκει γὰρ ἐκεῖνος ὁ λόγος, ὃν ἴσως ἀπαιτῶν σέ τις ὡς σοφωτάτην, λέξει. περὶ τῶν ἐκ μοιχείας ἀνόμως φυομένων τί φής; ἔδωκας γὰρ εἰσελθεῖν εἰς τὸν κόσμον ἀμήχανον εἶναι καὶ ἀδύνατον μὴ χειραγωγηθέντα τῷ θελήματι τῆς μεγαλωσύνης, κατασκευασθέντος αὐτοῦ τοῦ σκηνώματος πρὸς τοῦ θεοῦ. καὶ ἵνα μὴ καταφύγῃς ὥσπερ εἰς τεῖχος ἐχέγγυον, προχειριζομένη τὴν λέγουσαν γραφήν· τέκνα

A fuerit prohibere congreſſus nuptiales, cùm expectentur etiam poſt nos futuri martyres, & viri ſancti robore inuicto mentis obſtituri Antichriſto, ob quos etiam dies illos breuiandos eſſe, Verbum ipſum pollicetur? *Marc. 13. 20.* Quòd ſi malum, vt aiebas, ex hoc tempore apud Deum eſt, liberis operam dare, quo pacto illi B quos futuros Chriſtus prædixit, martyres & ſancti contra Dei placitum & voluntatem nati, vſque adeò ei cari acceptíque eſſe poterunt? Prorſus enim plagiariâ neſcio quâ ſuppoſitum arte ac manu, non diuinâ creatrice omnium productum operâ iſtud quodcumque fateri neceſſe eſt, quod præter mentem & contra præſcriptum C conditricis vniuerſorum potentiæ creatum extiterit: niſi fortè creandi homines facultatem hominibus tribuamus. Hîc Marcella interpellans. Grauis error, ô Theophila, in oratione, inquit, apparet tua, qui cam ſecum ipſa committit, contraria priùs à te dictis adſtruens: & putas latuiſſe te tantâ offuſâ nube. Occurrit tamen ille tibi ex aduerſo ſer-D mo, quo te aliquis vt ſapientiſſimam adiens interrogare iſto pacto poſſit. De iis qui ex adulterio illegitimè generantur, heus tu quid ais? Conceſſiſti enim nullâ poſſe ratione fieri, vt veniat in mundum aliquis, non manuducente voluntate diuinæ maieſtatis; imò non ipſâ Dei per ſe agentis vi præparato corpuſculo eius qui naſcitur. Et ne confugias velut in arcem ſecuram, prolato teſtimonio Scripturæ dicentis: *Filij* *Sap. 3. 16.*

adulterorum in inconſummatione erunt. Summouebit te leniter addens: Tamen videmus illegitimis conceptos copulis matureſcere in partus vitales & vegetos, valentéſque adoleſcere. Si autem argutè diſtinguens, dicas: Ego verò, heus tu, inconſummationem de iuſtitiæ Chriſtianæ perfectione accipio, ad quam videlicet non euehantur inconceſſis geniti congreſſibus, reponet ſtatim. Atqui, ô bona, multi editi furtiuis iſtiuſmodi partubus, nihilo ſeciùs, non ſolùm gregi Fidelium aggregati ſunt, & inter fratres numerati: ſed & præeſſe ipſis ritè iuſſi non rarò ſunt. Quare cùm communi omnium ſenſu & experientiâ notiſſimum ſit, ortos ex adulterio, tum naturâ, tum gratiâ conſummari: non eſt putandum de inconſummatione adulterinorum conceptuum & partuum Propheticum iſtud S. Spiritûs dictum intelligendum, ſed fortè potiùs de adulterantibus veritatem, qui ſophiſticis corrumpentes dogmatibus Scripturas, inconſummatam generant Sapientiam, religioni commiſcentes errorem. Itaque hoc quoque tibi effugio præcluſo, i modò, & ex adulterio quoque conceptos fœtus, bene volente reſponde generari Deo. Dixiſti enim fieri non poſſe, vt ad maturitatem & conſummationem perueniat humanus fœtus, niſi formante ipſũ, & animante Domino. Hîc Theophila velut robuſti lacer-

A μοιχῶν ἀπελεσφόρητα· ἀποκρούσεταί σε πρᾴως εἰπών· ὅτι καὶ μὴν τελεσφόροις πολλάκις ὠδῖσιν ὥριμον καρπὸν τὸν ἐκ παρανόμων συλληφθέντας ὧδε συναλλαγῶν ὁρῶμεν φυομένοις. εἰ δ' αὖ πάλιν σοφιζομένη φαίης· ὦ οὗτος, ἐγὼ τὸ ἀπελεσφόρητον ἐπὶ τῶν μὴ τελειουμένων ἡγοῦ-
B μαι τάττεσθαι τῇ χριστοδιδάκτῳ δικαιοσύνῃ, λέξεται. καὶ μὴν, ὦ μακαρία, πλεῖστοι τεχθέντες ἐξ ἀδίκου σπορᾶς οὐδὲν ἧττον οὐ μόνον τῇ ποίμνῃ συναγελάζεσθαι καταριθμοῦνται τῶν ἀδελφῶν, ἀλλὰ καὶ προκαθηγεῖσθαι τούτων κληροῦνται πολλάκις. ἐκείνου ὄντος φανεροῦ, καὶ πάντων
C ἱστορούντων, καὶ τὰ ἐκ μοιχείας φυόμενα τελεσιουργεῖσθαι, οὐ χρὴ νομίζειν περὶ συλλήψεων καὶ τόκων τὸ πνεῦμα πεπροφητευκέναι· ἀλλὰ ἴσως περὶ τῶν τὴν ἀλήθειαν μοιχωμένων, οἵτινες κλεψισόφοις νοθεύοντες δόγμασι τὰς γραφὰς, ἀπελεσφόρητον γεννῶσι σοφίαν, τῇ θεοσε-
D βείᾳ συγκιρνῶντες τὴν πλάνην. διὸ καὶ ταύτης σου τῆς προφάσεως ἐξῃρημένης, ἴθι δὴ, εἰ καὶ τὰ ἐκ μοιχείας εὐδοκοῦντος ἀπόκριναι γεννῶνται τοῦ θεοῦ. ἔφης γὰρ εἶναι ἀδύνατον, ἀνθρώπου τελεσφορηθῆναι γονὴν, μὴ μορφώσαντος αὐτὴν καὶ ψυχώσαντος τοῦ κυρίου. καὶ ἡ Θεοφίλα ὑπὸ γενναίου ὥσ-

περιληφθεῖσα τῶν μέσων ἀνταγωνιστοῦ ἐσκοτοδινίασε, καὶ μάλα μόλις ἀναπνεύσασα ἔφη· ἐρωτᾷς ἐρώτημα διὰ παραδείγματος, ὦ μακαρία, χρῆζον ἀποδειχθῆναι, ἵν' ἔτι μᾶλλον εἰδῇς, ὡς διὰ πάντων ἡ ποιητικὴ δύναμις διήκουσα τοῦ θεοῦ, πλέον εἰς τὴν τῶν ἀνθρώπων γένεσιν αὐτουργεῖ, αὔξουσα τὰ εἰς γόνιμον φυτευόμενα γῆν. οὐ γὰρ τὸ σπειρόμενον αἰτιατέον, ἀλλὰ τὸν εἰς ἀλλοτρίαν ἄρουραν κλεψιγάμοις εὐναῖς, οἷα μισθωτὸν ὀλίγης ἡδονῆς, τὴν ἰδίαν ἀναισχύντως πιπράσκοντα σποράν· ἀπείκασον γὰρ τοιούτῳ τινὶ τὴν ἡμετέραν γένεσιν εἰς τὸν βίον, οἷον οἴκῳ παρακειμένην ἔχοντι τὴν εἴσοδον ὄρεσιν ὑψηλοῖς, διήκειν τὸν οἶκον ἐπὶ πολὺ κάτω, μέχρις ἄκρων τῆς εἰσόδου ἔχοντα πολλὰς ὀπὰς ἐκ τοῦ ὄπισθεν, καὶ περιφερῆ κατὰ τοῦτο τὸ μέρος γεγονότα. ἀπεικάζω, ἔφη ἡ Μαρκέλλα. ἐκοιῶ ὑπόλαβε ἔνδον καθεζόμενον ἐργάζεσθαι πλάστην πολλοὺς ἀνδριάντας, τούτῳ δὲ αὖ τὴν ὕλην τοῦ πηλοῦ διὰ τῶν ὀπῶν ἔξωθεν νόησον ὑπὸ πολλῶν ἀνθρώπων ἀνενδεῶς χορηγεῖσθαι, οὐδενὸς αὐτὸν ὁρῶντος τὸν τεχνίτην· δὸς γὰρ κεκαλύφθαι τὸν οἶκον ὁμίχλῃ καὶ νεφέλαις, καὶ μηδὲν αὐτοῖς ἔξωθεν εἶναι καταφανὲς, ἢ μόνας τὰς ὀπάς. δεδόσθω, ἔφη, καὶ τοῦτο. ἔχειν δὲ ἑκα-

A tis aduerſarij media correpta, vertigine tentata quadam eſt, tum ægrè tandem ſpiritu reſumpto, rem, inquit, ô bona, quæris ad ſui plenam declarationem exemplo quodam indigētem, cuius beneficio meliùs intelligas Dei creatricem vim per omnia quidem pertinentem, præcipuè tamen hominum generationem
B operari per ſe, augendo quæ in genitalem ſeminata terrā ſunt. Neq; enim quod ſeminatur culpandū eſt: omnis in eo culpa reſidet, qui in alienum agrum, furtiuis cubilibus, veluti mercede breuis voluptatis propriam impudenter ſementem vendit. Informa enim, quæſo, talem quandam imaginem noſtræ in vitam generationis. Cogita domū ſu-
C pernè tantùm patulā, & in verticibus circumpoſitorum montium varios omni ex parte exitus habentem: ſit porrò ea in multam & infernè capacem demiſſa profunditatem; ſolis per altorū capita collium in circuitu diſpoſitis foraminibus peruia. Informo, inquit Marcella, quam iubes imaginem. Iam imaginare ſedentem intus ope-
D rari plaſten ſtatuas plurimas, ex limo ſuggeſto ei per ea, quæ dixi, foramina multorum aſſiduo cōgeſtu hominum, nemine ipſum vidente artificem. Da enim occultari domum caligine ac nebulis: & nihil iſtis materiæ miniſtris exterius apparere, niſi foramina ſola. Detur, inquit, & hoc. Habere autem vnum-

quemque collaborantium in A luti comportationem aſſignatum ſibi foramen vnum, per quod ſolum oportet ipſum propriam materiam deponere, nullâ ratione tangendo aliud quodcumque: propoſitâ etiam pœnâ ignis & verberum, ei qui curioſè aperire oſtium alteri aſſignatum tentauerit. Tum iam mihi deinde B conſidera figulum interiùs circumeuntem foramina, & quamcumque ſub vnoquoque materiam repererit fingentem, ac certis menſium periodis efformatam ſtatuam rurſus per idem foramen emittentem: quippe cui hæc poſita lex ſit, vt ſine vllo diſcrimine quamcumque aptam operi oblatam ſibi argillam fingat ac figu- C ret, etiamſi peruerſè per alienum à quopiam demiſſa foramen fuerit. Nihil enim peccaſſe materiam; ac propterea tamquam innoxiam fingi eam, quatenus capax, & efformari oportere. Eum verò qui contra interdictum in alienum ipſam foramen depoſuit, vt ſceleratum & tranſgreſſorem ſuppliciis afficere. Non enim argil- D la culpanda eſt, ſed is qui eam furtiuâ graſſatione, vel iniuſtâ vi petulanter iniecit quà fas non erat. Veriſſima loqueris. Ergo his hactenus ita præparatis, reſtat vt tu pro tua præſtanti ſapientia ſimilitudinem in rem conferas, & domum quidem illam eſſe intelligas ar-

A σον αὐτῶν τῶν συμπονούντων, εἰς τὴν τοῦ πηλοῦ συγκομιδήν, ἀπονενεμημένην αὐτῷ μίαν ὀπήν, εἰς ἣν χρὴ μόνον αὐτὸν φέροντα τὴν ἰδίαν ὕλην ἀποτίθεσθαι μὴ ἁπτόμενον ἑτέρας. εἰ δ' αὖ περιέργως ἀνεῳγνύναι τὴν ἑτέρῳ κεκληρωμένην ἐπιχειροίη, πῦρ αὐτῷ καὶ μάστιγας ἀπειλητέον. ἄκουε δὲ μετὰ ταῦτα λοιπὸν θεώρη- B σον ἔσωθεν τὸν πλάστην περιερχόμενον τὰς ὀπάς, καὶ τὸν ὑφελκόμενον ἐν ἑκάστῃ πηλὸν κατ' ἰδίαν λαμβάνοντα πλάττειν, καὶ μηνῶν περιόδοις ἀποπλάσσοντα πάλιν ἀποδιδόναι τοῖς ἔξω διὰ τῆς αὐτῆς τὸν πλάστην ὀπῆς, ἔχοντα τοιαύτην ἐντολήν, πάντα τὸν δυνάμενον δημιουργηθῆναι πηλὸν ἀδιαφόρως ἐργά- C ζεσθαι, κἂν εἰς ἀλλοτρίαν ὑπό τινος εἰσοχετεύηται κακοτρόπως ὀπήν· οὐδὲν γὰρ ἠδικηκέναι τὴν ὕλην· διὸ ὡς ἀναιτίαν μὲν δὴ χρῆναι πλάττεσθαι καὶ μορφοῦσθαι. τὸν δὲ παρὰ τὸ διάταγμα καὶ τὴν ἐντολήν, εἰς ἀλλοτρίαν αὐτὴν ἀποτιθέμενον ὀπήν, τοῦτον ὡς ἀλάστορά τε καὶ παραβάτην τιμωρεῖσθαι. οὐ γὰρ τὸν πηλὸν αἴ- D τιον, ἀλλ' ἐκεῖνον τὸν παρὰ τὸ ὅσιον τοῦτο πεποιηκότα· ἀκρασίας γὰρ χάριν εἰς ἀλλοτρίαν ἀποκομίσας ὀπὴν ἀπέθετο λαθραίως τῇ βίᾳ. ἀληθέστατα λέγεις. ἄκουε λοιπὸν δὴ καιρὸς τούτων ἤδη προδιηνυσμένων, ταύτην σε πᾶσαν προσάπτειν ὦ σοφωτάτη τὴν εἰκόνα τοῖς ἤδη ἔμπροσθεν εἰρημένοις· τὸν μὲν οἶκον ἀφο-

A μοιοῦσαν τῇ ἀοράτῳ τῆς γενέσεως ἡμῶν φύσει· τὴν δὲ προσκειμένην εἴσοδον τοῖς ὄρεσι, τὴν ἀπὸ τῶν οὐρανῶν εἰς τὰ σώματα κατάβασιν καὶ παραπομπὴν τῶν ψυχῶν. τὰς δὲ ὀπὰς τὸ θηλυκὸν καὶ γυναικεῖον γένος· τὸν δὲ πλάστην, τὴν ποιητικὴν δύναμιν τοῦ θεοῦ, ἥτις ἐπικαλύμματι τῆς γενέσεως ἡμῶν τῇ φύσει χρωμένη, ἔνδον ἡμᾶς ἀοράτως αὐ- B θεντοπλαστεῖ, τὰ ἐνδύματα ταῖς ψυχαῖς ἐργαζομένη. τοὺς δὲ κομίζοντας τὴν ὕλην τοῦ πηλοῦ, τὸ ἀνδρεῖον καὶ ἀρρενικὸν παραβλητέον· ὁπότε διψήσαντες τέκνων εἰς τοὺς κατὰ φύσιν τῆς θηλείας φερομένους πόρους ἐγκαταβάλλοισι τὴν σποράν, ὥσπερ κἀκεῖνοι τὸν πηλὸν εἰς τὰς ὀπάς· θείας γὰρ ὡς ἔπος εἰ- C πεῖν μοίρας τῆς δημιουργικῆς τὸ σπέρμα μεταλαμβάνον, οὐκ αὐτὸ αἴτιον νομιστέον εἶναι τῶν τῆς ἀκολασίας ὑπεκκαυμάτων. ἡ μὲν γὰρ τέχνη τὴν ὑποκειμένην ὕλην ἀεὶ τεκταίνεται· οὐδὲν γὰρ αὐτόθι καθ' ἑαυτὸ τῶν πραγμάτων ἡγητέον εἶναι κακόν, ἀλλὰ παρὰ τὴν πρᾶξιν τῶν χρωμένων τοιῶσδε γίνε- D σθαι· κοσμίως μὲν γὰρ πραττόμενον καὶ σωφρόνως, κόσμιον ἀπέβη· αἰσχρῶς δὲ καὶ ἀσχημόνως, αἰσχρόν. τί γὰρ ἠδίκησε σίδηρος γεωργικῆς χάριν καὶ τεχνῶν εὑρεθεὶς τοὺς εἰς ἀλληλοφόνους αὐτὸν θήξαντας μάχας; τί δὲ χρυσός, ἢ ἄργυρος, ἢ χαλκός, καὶ συλλήβδην

canam generationis noſtræ naturam: aditum autem adiacentem montibus, deſcenſum & demiſſionem animarum è cælis in corpora. Foramina verò, fœmininum ac muliebre genus: Plaſten quoque, creatricem potentiam Dei, quæ pro velo vtens ipsâ generationis noſtræ naturâ, intus nobis inuiſibiliter humanam formam fingendo inducit, animarum indumenta concinnans. Comportatores denique materiæ fingendo aptæ, mares ac viros exprimere cogitandi ſunt, quando ij libidine correpti, in naturales feminæ meatus ſemen iniiciunt, vt illic argillam in foramina: ſemini enim diuinæ creatricis potentiæ participatione, vt ſic dicam, aſperſo quadam, nequaquam imputandi exæſtuantes impuræ libidinis ardores. Ars porro in ſubiecta ſibi materia, quod ſuum eſt, agit. Nullam verò rem ex ſe ac per ſeipſam malam eſſe putandum eſt, ſed talem fieri per operationem abutentium eâ. honeſtè videlicet & caſtè exercita, honeſta euadit: turpiter verò & indecenter adminiſtrata, turpis fit. In quo enim malè meruit ferrum propter agriculturam & artes inuentum, de iis qui ad mutuas illud cædes & inhumana procudunt prælia? In quo aurum, aut argentum, aut æs, & vt verbo colligam, omnis in metalla vel gemmas

excocta & elaborata terra, abutentibus iis ingratè aduersùs ſuum Creatorem, peruertendis eorum iniectâ cupiditate ſuis ipſorum filiis, poſtquam adoleuerunt? Certè ſi quis furto quæſita vellera textrinæ præbuerit, illa innocenter vnum ad ſcopũ intuens ars in opus mittet, nihil reiiciens eorum quæ ad ſuum ſibi vſum apta obiecta ſint. Nam lana inanimis, innocens vtique eſt furti quo eſt ſubtracta. quare illam quidem elaborare & concinnare nihil prohibet. Qui verò malâ eam manu, iniuſtáque vi abſtulit, pœnæ ſubiiciatur. Sic corruptores nuptiarum, qui vitæ harmoniam, velut citharæ, rumpendis temerè chordis exſurdant: effrænes inflammatæ cupiditatis æſtus in adulteria laxantes, ipſi quidem cruciandi puniendíque ſunt; nocent enim iniuſtè ac grauiter ex alienis hortis inconceſſos concubitus furando: ſemen verò ipſum, vti & illic vellera, formandum & animandum eſt. Et quid opus eſt tot exemplis vtendo producere ſermonem, cùm ſatis pateat Dei profectò eſſe opus ſtructuram corporum? Numquam enim ſic exiguo tempore tantùm citra diuinam cooperationem perficeret opus natura. Quis enim oſſium compegit incompactam ſubſtantiam? Quis colligauit vt extenderentur neruis, & remitterétur ad iuncturas artuum ſeſe membra flectentia? Deus certè aliquis pinſuit chymum ma-

A ἡ εὐέργαστος ἅπασα γῆ, τοὺς πλημμελοῦντας ἀχαρίστως εἰς τὸν σφέτερον δημιουργὸν, ἐν τῷ παρατρέπεσθαι τὰ ἀπ' αὐτῶν πηλικώμενα βρέφη; κἂν γὰρ ἀπὸ κλεψιμαίων τῇ ὑφαντικῇ παρέχοιτό τις ἔρια τέχνῃ, πρὸς ἓν μόνον ἀποβλέπουσα τοῦτο ἡ τέχνη δημιουργεῖ τὴν ὑποκειμένην ὕλην,
B εἰ δέξεται τὴν κατασκευὴν, οὐδὲν ἀποβαλλομένη τῶν ἑαυτῇ χρησίμων· ἐπεὶ μηδὲν αἴτιόν ἐστιν ἐνταῦθα τὸ κλαπὲν, ἄψυχον ὄν· διὸ δὴ αὐτὸ μὲν ἐργαστέον καὶ κοσμητέον· τὸν δὲ ὑφελόμενον ἀδίκως φορᾷ τιμωρητέον. ἀτὰρ δὴ καὶ τοὺς δηλήμονας τῶν γάμων, καὶ διαρρήκτας τῆς εὐαρμοσίας τοῦ βίου τῶν χορδῶν, φλεγμαίνοντας οἴστρῳ,
C καὶ τὴν ὄρεξιν εἰς μοιχείαν ἐκχαλουμένους, αὐτοὺς μὲν βασανιστέον καὶ τιμωρητέον· ἀπ' ἀλλοτρίων γὰρ κήπων τὰς παιδογόνους λυμαίνονται κλέπτοντες συμπλοκάς· τὴν δὲ σποράν, ὥσπερ δὴ κἀκεῖ τὰ ἔρια, μορφωτέον καὶ ψυχωτέον. καὶ τί χρὴ παραδείγμασι τοσούτοις καταχρωμένην
D μηκύνειν τὸν λόγον; οὐδὲ γὰρ ἂν οὕτως ἐν ὀλίγῳ χρόνῳ τοσοῦτον ἔξω θείας κομιδῆς ἔργον ἐξήνυσε φύσις. τίς γὰρ ὀστέων ἔπηξεν ἄπηκτον οὐσίαν; τίς δὲ ξυνέδησεν ἐπιτείνεσθαι νεύροις καὶ ἀνίεσθαι περὶ τὰς ἁρμογὰς καμπτόμενα τὰ μέλη; ἢ τίς θεὸς ἐζύμωσε χυμὸν δεύ-

A σας αἵματι, καὶ μαλθακὴν ἐκ γεώδους σάρκα. ἢ μόνος ὁ ἀριστοτέχνης τὴν λογικωτάτην εἰκόνα καὶ ἔμψυχον τὸν ἄνθρωπον ἡμᾶς ἑαυτοῦ τεκταινόμενος, καὶ κηροπλαστῶν ἐξ ὑγρῶν καὶ βραχυτάτων σπερμάτων ἐν μήτρᾳ. τίς γάρ ἐστιν ὁ προμηθούμενος μὴ συμπνίγεσθαι τῷ ὑγρῷ, καὶ τῇ συνοχῇ τῶν ἀγγείων, ἐπικλυζόμενον ἔσω τὸ ἔμβρυον; ἢ B τίς ὁ μετὰ τὸ λοχευθῆναι καὶ εἰς φῶς ἀνελθεῖν, εἰς μέγεθος, καὶ κάλλος, καὶ ῥώμην, ἐξ ἀσθενοῦς τε βραχέος μεταβάλλων, εἰ μὴ αὐτὸς οὗτος ὁ ἀριστοτέχνης, ὡς ἔφην, θεός, τῇ ποιητικῇ δυνάμει τοῦ Χριστοῦ μετασχηματίζων καὶ μεταζωγραφῶν τὰς ἰδέας; ὅθεν δὴ καὶ τημελούχοις ἀγγέλοις, κἂν ἐκ μοι- C χείας ὦσι τὰ ἀποτικτόμενα, παραδίδοσθαι παρειλήφαμεν ἐν θεοπνεύστοις γράμμασιν. εἰ γὰρ παρὰ τὴν γνώμην ἐγίνοντο, καὶ τὸν θεσμὸν τῆς μακαρίας ἐκείνης φύσεως τοῦ θεοῦ· πῶς ἀγγέλοις ταῦτα παρεδίδοτο, τραφησόμενα μετὰ πολλῆς ἀναπαύσεως καὶ ῥᾳστώνης; πῶς δὲ καὶ κατηγορήσοντα σφῶν αὐτῶν τοὺς γονεῖς εὐπαρρη- D σιάστως εἰς τὸ δικαστήριον ἐκίκλησκον τοῦ Χριστοῦ; σὺ οὐκ ἐφθόνησας ἡμῖν, ὦ κύριε, τὸ κοινὸν, λέγοντα, τοῦτο φῶς· οὗτοι δὲ ἡμᾶς εἰς θάνατον ἐξέθεντο, καταφρονήσαντες τῆς σῆς ἐντολῆς· ἐκ γὰρ ἀνόμων, φησίν, ὕπνων τέκνα γεννώμενα, μάρτυρές εἰσι πονηρίας κατὰ γονέων ἐν ἐξε-

cerans ſanguine, & mollem ex limo pulpam. Vnus profectò vnus ſummus artifex, viuum nos hominem rationalem ſui effigiem architectatus in vtero ex humido exiguóque eſt ſemine, fingens, & velut ceram, manuducens ad deſignatæ expreſſionem formæ. Cuius enim alterius prouidentiâ fit, ne ſuffocetur tum humido, tum vaſculorum anguſtiis, intus innatans embryon? aut quis alius à partu iam editum in lucem fœtum ex illa breuitate & teneritudine natali in molem, formam, robur idoneum promouet; niſi vnus ille ſupremus, vt dixi, artifex Deus, creatrice vi, Chriſto transfigurans, & nouis ſubinde quaſi coloribus ac ductibus ad viuum expingens ideas? Vnde & tutelaribus Angelis etiam adulterio conceptas proles commendari accepimus à diuino Spiritu dictatis libris. Si enim contra mentem & definitam voluntatem exiſterent beatæ illius naturæ Dei: quomodo Angelis traderentur, blandè indulgentérque educandæ? quomodo etiam ſuos ipſarum genitores accuſaturæ liberè ad Chriſti tribunal citarent? Tu quidem, inquientes, non inuidiſti nobis, Domine, commune hoc lumen: hi autem nos in mortem expoſuerunt, contempto mandato tuo. *Ex iniquis enim*, inquit, *ſomnis filij qui naſcuntur, teſtes ſunt nequitiæ aduerſus parentes in interro-* Sap. 4. 6.

gatione. Et adhuc locum habebit aliquis probabiliter diſputandi apud imperitos & imprudentes, tunicam hanc animæ carneam, ab hominibus ſatam, ſponte ſuâ formari contra interdictum Dei? Annon huic quoque, immortalem animæ ſubſtantiam ſimul cum mortali ſeminari corpore docenti, fides habebitur? Quod enim mortis & ſenectutis expers eſt, ſolus vtique Omnipotens inſpirat nobis, vnus inuiſibilium & incorruptibilium

Gen. 2. 7. Creator. *Inſpirauit*, enim inquit, *in faciem eius ſpiraculum vitæ, & factus eſt homo in animam viuentem.* Denique operarios illos increpans Diuinum verbum, qui ad hominum perniciem humanæ formæ ſimulacra concinnant, non ſentientia proprium factorem, in libro Sa-

Sap. 15. 10. pientiæ ait: *Cinis eſt cor eorum, & terra ſuperuacua ſpes illorum, & luto vilior vita eorum: quoniam ignorarunt qui ſe finxit, & qui inſpirauit illis animam quæ operatur, & qui inſufflauit eis ſpiritum vitalem.* Hic omnium hominum creator eſt, Deus: vnde & omnes homines, iuxta

1. ad Tim. 2. 4. Apoſtolum, ſaluos fieri vult, & in agnitionem veritatis venire. Et quoniam hoc vix tandem aliquando caput expediuimus, quæ ſuperſunt deinceps dicenda ſunt. Vbi enim quis acri conſideratione perdidicerit quæ homini ſecundùm naturam contingunt, ſciet

A πασμῷ. καὶ τάχα μὲν οὖν χώραν ἕξει πιθανολογῶν τις ἐν οὐ κριτικοῖς καὶ φρονίμοις ἀνδράσι, τὸν χιτῶνα τὸν ψυχῆς τὸν σαρκινὸν τοῦτον, ὑπ' ἀνθρώπων φυτευόμενον, αὐτόματον μορφοῦσθαι παρὰ τὴν ἀπόφασιν τοῦ θεοῦ; οὐ μὴν ἤδη καὶ τὴν ψυχῆς τὴν ἀθανάτην οὐσίαν μετὰ τοῦ ἀθανάτου συνσπείρεσθαι διδάσκων πι-

B στευθήσεται σώματος; τὸ γὰρ ἀθάνατον καὶ ἀγήρων, μόνος ὁ παντοκράτωρ ἐμφυσᾷ ἡμῖν, ὁ καὶ μόνος τῶν ἀοράτων ἐστὶ καὶ ἀνωλέθρων ποιητής. ἐνεφύσησε ἐστὶ γὰρ εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετό φησιν, ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. ἀμέλει τοὺς χειροτέχνας τούτους αἰτιώμενος ὁ λόγος, ἐπὶ λύμῃ τῶν ἀνθρώπων

C τὰ ἀνδροείκελα κατασκευάζοντας ἀγάλματα, οὐκ αἰσθόμενα τὸν ἴδιον ποιητήν, ἐν τῇ πανάρετῳ σοφίᾳ φησί. σποδὸς ἡ καρδία αὐτῶν, καὶ γῆς εὐτελεστέρα ἡ ἐλπὶς αὐτῶν, πηλοῦ τε ἀτιμότερος ὁ βίος αὐτῶν, ὅτι ἠγνόησαν τὸν πλάσαντα αὐτούς, καὶ τὸν ἐμπνεύσαντα αὐτοῖς ψυχὴν ἐνεργοῦσαν, καὶ ἐμφυσήσαντα αὐτοῖς

D πνεῦμα ζωτικόν. οὗτός ἐστι πάντων ἀνθρώπων ποιητὴς ὁ θεός. διὸ καὶ πάντας ἀνθρώπους, κατὰ τὸν ἀπόστολον, σώζεσθαι βούλεται, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. καὶ ἐπεὶ τοῦτο μόλις τέλος ἔχει, λοιπὸν δὴ τὰ μετὰ ταῦτα λεκτέον. ὁπόταν γάρ τις τὴν θεωρίαν τῶν κατ' ἄνθρωπον συμβαινόντων κατὰ φύσιν ἀκριβῶς ἐκμάθῃ, εἴσεται

A μὴ βδελύσσεσθαι μὲν παιδοποιΐαν· ἐπαινεῖν δὲ καὶ προτιμᾶν ἁγνείαν. οὐδὲ γὰρ ἐπειδὴ τῶν ἄλλων ἐστὶν ἡδύτερον καὶ προσηνέστερον τὸ μέλι, τὰ λοιπὰ δὴ ταύτῃ νομίζεσθαι προσήκει πικρά, ὁπόσα δὴ τῇ ἐμφύτῳ γλυκασίᾳ κεκέρασται τῶν ἀκροδρύων. καὶ τούτων μὲν ἐχέγγυον μάρτυρα παρέξομαι τὸν Παῦλον· ὥστε καὶ ὁ γαμίζων, λέγοντα, τὴν ἑαυτοῦ παρθένον, καλῶς ποιεῖ· B καὶ ὁ μὴ γαμίζων, κρεῖσσον ποιεῖ. οὐ γὰρ δὴ τῇ τοῦ κρείττονος καὶ γλυκυτέρου παραθέσει, τὸ ἕτερον ἀνεῖλεν ἀπαγορεύσας ὁ λόγος· ἀλλ' ἑκάστῳ τὸ οἰκεῖον καὶ λυσιτελὲς ἀπονέμων, διαθεσμοθετεῖ. τοῖς μὲν γὰρ οὐδέπω συνεχώρησε παρθενίας τυχεῖν· τοὺς δὲ οὐκέτι βούλεται χραίνεσθαι φοινισσομένοις ἐρεθισμοῖς, ἀλλὰ με- C λετᾶν ἀπεντεῦθεν ἤδη καὶ φαντάζεσθαι τὴν ἰσάγγελον μεταστοιχείωσιν τῶν σωμάτων· ἔνθα οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται, κατὰ τοὺς ἀψευδεῖς τοῦ κυρίου χρησμούς· ἐπεὶ μὴ πᾶσιν ὁ ἀμόλυντος καὶ παρεκτικὸς τῆς βασιλείας τῶν οὐρανῶν εὐνουχισμὸς ἐμπιστεύεται· ἀλλὰ μόνοις ἐκείνοις δηλονότι τοῖς καὶ δυναμένοις τὸ ἀει- D θαλὲς ἄνθος καὶ ἄχραντον τῆς παρθενίας τηρῆσαι. ἀνθηροτάτῳ γὰρ καὶ ποικιλωτάτῳ λειμῶνι ἀπεικάζεσθαι λόγος ἔχει προφητικὸς τὴν ἐκκλησίαν, οὐ μόνον τοῖς τῆς ἁγνείας πεποικιλμένην καὶ κατεστεμμένην ἄνθεσιν, ἀλλὰ καὶ τοῖς τῆς τεκνογονίας, καὶ τῆς ἐγκρατείας. ἐν κροσσωτοῖς γὰρ

A non abominari quidem coniugium, laudare autem & præferre caſtitatem. Quando non quoniam cæteris dulcius ſuauiúſque mel eſt, continuò reliqua conuenit amara reputare, quæcumque in fructibus iucundi ſaporis partem aliquam à natura ſunt ſortita. Et horum quidem idoneum teſtem producemus Paulum, cuius illa ſunt: B *Qui matrimonio iungit virginem ſuam, bene facit: & qui non iungit, meliùs facit.* Non enim ſcilicet melioris & dulcioris appoſitione aliud omnino tollit, & vt malum prohibet doctrina ſancta. Sed vnicuique quod proprium & vtile ſingulis eſt tribuens, ſapienter cũcta diſpenſat. Sunt quibus nondum conceſſit C potiri virginitate: ſunt quos non amplius inquinare aut erubeſcere pruritibus vult; ſed meditari iam hinc & deinceps exprimere angelicæ puritatis æmulam transformationem corporum, vbi non nubunt, neque nubuntur, iuxta verax Domini oraculum. Quandoquidem non omnibus incontaminatus ille, & regni cælorum præbitor Eunu- D chiſmus concreditur: ſed ſolis illis videlicet, qui poſſunt ſemper virentem & immaculatum virginitatis florem tueri. Florentiſſimo enim & maximè variegato prato comparari ſermo habet propheticus Eccleſiam, non modò puritatis diſtinctam & coronatam floribus, ſed & coniugij ac continentiæ. In veſtitu

1. ad Cor. 7. 38.

A ſiquidem deaurato circumdata varietate à dextris Regina ſponſi adſtat. Hæc tibi pro viribus, & ego meis, ô Arete, in ſuſceptum pro veritate ſermonem confero. Quibus à Theophila dictis, lene à cunctis murmur extitiſſe Virginibus Theopatra narrabat, ſingulis ſermonem laudantibus. Vt verò ſuſurrus conſedit, poſt longum ſilentium B aſſurrexiſſe Thaliam (ei quippe tertio loco mandatum erat agere poſt Theophilam) Ea igitur ſuccedens exordio hinc ſumpto, ſic, opinor, cœpit.

χρυσοῖς πεποικιλμένη ἐκ δεξιῶν ἡ βασίλισσα παρίσταται τοῦ νυμφίου. ταῦτά σοι κατὰ δύναμιν κἀγὼ τῆς ἐμαυτῆς, ὦ Ἀρετή, εἰς τὸν ὑπὲρ τῆς ἀληθείας συμβάλλομαι λόγον. εἰπούσης δὲ ταῦτα τῆς Θεοφίλας, θόρυβον ἡδὺν ἐκ πασῶν ἡ Θεοπάτρα ἔφη γεγονέναι τῶν παρθένων, ἐπαινουσῶν τὸν λόγον. ὡς δὲ ἡσύχασεν, B σιωπῆς ἐπὶ πολὺ γινομένης, ἀναστῆναι τὴν Θάλειαν· ταύτῃ γὰρ ἐκ τρίτου ἐπιτέτραπτο μετὰ τὴν Θεοφίλαν ἀγωνίζεσθαι. ὑπολαβοῦσαν οὖν ἐντεῦθεν, ὡς οἶμαι, ἤδη καὶ αὐτήν.

THALIA.
ORATIO III.

MIHI videris, ô Theophila, C & operatione & ſermone ſuper omnes excellere, nec cuiquam ſapientiâ cedere. Non enim eſt qui reprehendere poſſit orationem tuam, vel ſi contentioſus & peruicax ſit. Vnum tamen in ea me, aliis præclarè dictis, ſubconturbat reputantem, & quaſi ſcrupulo iniecto inquietat; metuere me cogens, ne diui- D no Spiritu pleniſſimus & vtique Sapiens vir (Paulum dico) ſine cauſa retulerit ad Chriſtum & Eccleſiam coniunctionem primi hominis & mulieris, ſi nihil ſublimius ipsâ literâ ipſaque hiſtoriâ Scriptor ſacer cogitauit. Si enim omnino de viri ac mulieris congreſſu me-

ΘΑΛΕΙΑ.
ΛΟΓΟΣ Γ'.

C Σύ μοι δοκεῖς, ὦ Θεοφίλα, ἔφη, καὶ τῇ πράξει καὶ τῷ λόγῳ πασῶν κρατιστεύειν, καὶ σοφίας τὰ δεύτερα φέρεσθαι οὐδενός. οὐ γάρ ἐστιν ὅστις αἰτιάσεταί σου τὸν λόγον, οὐδ' εἰ παντάπασι φιλόνεικος εἴη καὶ ἀντιλογικός. πλὴν ἐκεῖνό με μόνον, τῶν ἄλλων ὀρθῶς εἰρημένων, ὦ μακαρία, δοκεῖ ταράττειν τε καὶ ἀνιᾶν, D ἀναλογιζομένην, ὡς οὐκ ἂν ὁ πνευματικώτατος καὶ σοφὸς ἀνήρ, τὸν Παῦλον λέγω, ματαίως ἀνέφερεν εἰς Χριστὸν καὶ τὴν ἐκκλησίαν, τὴν συνέρξιν τοῦ πρωτοπλάστου καὶ τῆς γυναικός, εἰ μηδὲν ὑψηλότερον ἐφαντάζετο τῶν ῥητῶν καὶ τῆς ἱστορίας ἡ γραφή. εἰ γὰρ ὅλως εἰς τὸν περὶ συνελεύσεως ἀνδρός τε καὶ γυναι-

πῶς δεῖ παραλαμβάνεσθαι τύπον A ψιλῶς τῆς γραφῆς· τίνος δὴ χάριν ὁ ἀπόστολος τούτων ἐπιμνησθεὶς, καὶ εἰς τὴν τοῦ πνεύματος ἡμᾶς, οἶμαι, χειραγωγῶν ὁδὸν, εἰς Χριστὸν καὶ τὴν ἐκκλησίαν ἀναφέρων, ἀλληγορεῖ τὰ κατὰ τὴν Εὔαν καὶ τὸν Ἀδάμ; ἡ μὲν γὰρ λέξις τῆς γενέσεως οὕτω φησί· καὶ εἶπεν ὁ Ἀδὰμ, τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν B μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου· αὕτη κληθήσεται γυνὴ, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη. ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. ὁ δὲ ἀπόστολος εἰς αὐτὴν δὴ ταύτην ἐπισκεπτόμενος τὴν περι- C κοπὴν, οὐκέτι κατὰ τὸ κείμενον αὐτὴν, ὡς ἔφην, αἰσθητῶς ἐπὶ συνέρξεως βούλεται παραλαμβάνεσθαι γυναικός τε καὶ ἀνδρὸς, ὥσπερ δὴ καὶ σύ. σὺ γὰρ φυσικώτερον ἐπεξεργαζομένη τὸν λόγον, συλλήψεων πέρι καὶ τόκων ἔδωκας μόνον ἀποφαίνεσθαι τὴν γραφήν· ἵνα γὰρ τὸ ἀπὸ τῶν ὀστέων ὀστοῦν ἄνθρω- D πος ἕτερος ληφθὲν γεννηθῇ, ταύτῃ συνιέναι τὰ ζῶα σπαργῶντα καὶ ὠδίνοντα, δρυῶν δίκην, ἐν ὥρᾳ τοῦ κύειν. ἐκεῖνος δὲ πνευματικώτερον εἰς τὸν Χριστὸν ἀναπέμψας τὸν λόγον, διδάσκων οὕτως ἔφη. ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα, ἑαυτὸν ἀγαπᾷ· οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ᾽ ἐκτρέφει καὶ θάλπει, καθὼς καὶ ὁ Χριστὸς τὴν ἐκκλησίαν, ὅτι μέλη ἐσμὲν τοῦ σώ-

ro interpretari Scripturam neceſſe eſt; cur Apoſtolus eum citans locum, & in veram, vt opinor, diuini Spiritûs ſententiam manuducens nos, ad Chriſtum & Eccleſiam allegoricè transfert, quæ de Adamo & Eua memorantur? Locus Geneſeos ſic habet: *Et dixit Adam, hoc nunc os ex oſsibus meis, &* Geneſ 2. 23. B *caro de carne mea, ipſa vocabitur virago, quoniam de viro ſumpta eſt. Propter hoc relinquet homo patrem ſuum & matrem ſuam, & adhærebit vxori ſuæ, & erunt duo in carne vna.* Apoſtolus autem eam conſiderans ſententiam, nequaquam illam prout iacet iuxta ſenſum, vt dixi, ac ſonum literæ, de viri ac feminæ copula vult accipi, C quemadmodum tu facis: naturali modo atque vſu de conceptibus ſolùm ac partubus ſcripturam iſtam interpretans. Sic enim poſuiſti: vt os ex oſſibus homo alter ſumptus gigneretur, coïre viua corpora, diſtendíque ac tumere, arborum inſtar, cùm prægnant. Paulus autem ſpiritaliter ad Chriſtum D hæc referens, hunc nos in modum edocet. *Qui ſuam vxorem diligit, ſeipſum diligit. Nemo enim vnquam carnem ſuam odio habuit, ſed nutrit & fouet eam, ſicut & Chriſtus Eccleſiam: quia membra ſumus cor-* Ad Eph. 5. 29.

poris eius. . . . Propter hoc relin- A *quet homo patrem & matrem ſuam, & adhærebit vxori ſuæ; & erunt duo in carne vna. Sacramentum hoc magnum eſt. Ego autem dico in Chriſto & in Eccleſia.* Ne moueat verò quod aliis de rebus inſtituto ſermone in alia tranſilit: vt permiſcere cuncta videatur, nec vereri ſeſe ſui diſſimilem oſtendere, qui de- B ſultoriè à propoſito deficiens, non cohærentia dictis ſubtexat, vti & nunc. Nam de caſtitate volens, vt apparet, cum cura confirmare doctrinam, inſinuat ſe priùs, & molles quaſi aditus ad eum ſcopum captat, leniori ac plauſibiliori vtens ingreſſu ſermonis. Character hic eſt dictionis eius maximè varius, & ad augendum attollendúmque C gradatim factus: quippe à ſuperficiariis inchoans, mox ſe in altiora magnificáq; diffundens: tum rurſus in profunditatem ſe demittens: interdum in ſimplex aliquid ac facile, interdum in difficilius ſubtiliúſq; deſiturus; numquam tamen per iſtas alternationes alienum à ſcopo ſubinducens quidquam: quæcumque D enim ſcriptione ſic variâ, & quaſi reciprocante, comprehendit, mirabili ſeſe nexu attinent, & arcanis commiſſa iuncturis, æquè cuncta ad propoſitæ tractationis abſoluendum negotium ſimul conferunt. Oportet igitur me accuratiùs reuelare arcanum ſenſum profundarum Apoſtoli ſententiarum, nihil co-

ματος αὐτοῦ. ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. τὸ μυστήριον τοῦτο μέγα ἐστίν. ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν. μὴ κινείτω δέ σε εἰ περὶ ἑτέρων διαλεγόμενος, εἰς ἕτερα ἀπεπήδα· ὥστε νομίζειν ἀναμιγνύναι καὶ παρεμβάλλειν ἑαυτὸν ἀνόμοιον τοῖς προκειμένοις, παρεκβαίνοντα τοῦ σκέμματος, ὥσπερ δὴ καὶ νῦν. περὶ τῆς ἁγνείας γὰρ ἐθελήσας, ὡς εἰκός, μεμελημένως αὐτοῦ κρατυνθῆναι λόγον, προδιορθοῦται πρότερον τὴν ἐπιχείρησιν, τῷ λειοτέρῳ τῆς φράσεως ἀρχόμενος τύπῳ. ὁ γάρτοι χαρακτὴρ αὐτοῦ τῶν λόγων ποικιλώτατος ὤν, καὶ κατὰ παραύξησιν ἐξειργασμένος, ἄρχεται μὲν ἐπιπολαιότερον, προχεῖται δὲ εἰς τὸ ὑψηλότερον καὶ μεγαλοπρεπές· εἶτ' αὖθις εἰς βαθύτητα μεταβάλλων, ὁτὲ μὲν εἰς τὸ ἁπλούστερον καὶ ἀφελές, ὁτὲ δὲ εἰς τὸ δεινότερον καταλήγει καὶ λεπτόν, οὐδὲν ἀλλότριον ἐπεισάγων τῶν κεφαλαίων ταῖς ἐξαλλαγαῖς· ἀλλὰ πάντα, κατά τινα θαυμαστὴν οἰκειότητα, συμπεριγράφων εἰς ἓν τὸ προκείμενον αὐτῷ σκέμμα τῆς ὑποθέσεως ἀπεργάζεται. χρὴ οὖν με ἀκριβέστερον ἀνακαλύψαι τὸν νοῦν τῶν κατὰ τὸν ἀπόστολον ἐπιχειρημάτων, οὐδὲν τῶν

ἔμπροσθεν εἰρημένων ἀποκρουο- A
μένην. ἱκανῶς γὰρ κἀκεῖνά μοι
διεξεληλυθέναι καὶ λαμπρῶς δο-
κεῖς, ἀκινδυνότερον, ὦ Θεοφίλα,
τὰ ῥήματα τῆς γραφῆς, ὡς εἶχεν,
ἐπεξεργασαμένη. σφαλερὸν γὰρ
πάντη καταφρονεῖν τῶν κειμέ-
νων, ὡς εἴρηται, μάλιστα τῆς γε-
νέσεως, ἔνθα ἀποφάσεις ἀπα-
ράλλακτοι φέρονται τοῦ θεοῦ εἰς B
τὴν σύστασιν τοῦ παντός. αἷς ἡρ-
μοσμένος εἰσέτι καὶ νῦν, κάλ-
λιστα κατὰ μέρος τέλειον ἀπευ-
θύνεται τελείως ὁ κόσμος, ἐς τὸ
αὖ αὐτὸν πάλιν αὐτὸς ὁ διακο-
σμήσας νομοθέτης, ἀναστοιχειῶσαι
βουληθεὶς, ἑτέρῳ διατάγματι τοὺς
πρώτους τῆς φύσεως ἀναλύσῃ
θεσμούς. ἀλλ' ἐπεὶ οὐ χρὴ ἀνε- C
ξέλεγκτον, καὶ ὥσπερ ἐξ ἡμι-
σείας χωλὴν τὴν ἀπόδειξιν τοῦ
λόγου καταλεῖψαι· φέρε δὴ καὶ
τὴν κατ' ἀναγωγὴν αὐτῇ συζυγίαν
ἀποδῶμεν ἡμεῖς, βαθύτερον ἐπι-
σκεψάμεναι τὴν γραφήν. οὐ
γὰρ τοῦ Παύλου καταφρονητέον, τοῦ
ὑπεραναβαίνοντος τὸ ῥητὸν, καὶ
εἰς τὸν Χριστὸν αὐτὸ συντείνειν D
καὶ τὴν ἐκκλησίαν ἀποφηναμέ-
νου. καὶ πρῶτον ἐξεταστέον, εἰ
ὁ Ἀδὰμ ἀπεικάζεσθαι δύναται
τῷ υἱῷ τοῦ θεοῦ, ἐν τῷ παρα-
πτώματι τῆς παραβάσεως εὑρε-
θεὶς, καὶ ἀκούσας τὸ, γῆ εἶ, καὶ
εἰς γῆν ἀπελεύσῃ. πῶς δὲ καὶ
πρωτοτόκος πάσης κτίσεως εὑρε-

A rum reiiciendo quæ priùs dicta
ſunt. Bene quippe in eis imò
præclarè verſata mihi videris, ô
Theophila, cautè illud ſecuréq;
prouidens, vt verba Scripturæ
intelligãtur, prout ſonant iuxta
natiuum ſenſum. periculo ſiqui-
dem non vacat ſpernere ſemper
ac tranſilire velle obuiam & pri-
mo aſpectu pulſantem animum
ſentẽtiam Scripturæ, præſertim
B in Geneſi, vbi oracula immuta-
bilia feruntur Dei, conſtitutio-
nem mundi ſancientia: quibus
aptatus vſque in hunc diem ſuis
ſenſim partibus in iſtam vniuer-
ſi perfectionem adoleuir, perſti-
turam eò vſque quoad ipſe rur-
ſus qui eum concinnauit, legiſ-
lator, reformare opus ſuum vo-
lens, alio præcepto primas anti-
C quauerit naturæ leges. Sed quo-
niam non decet inexploratam,
ac velut dimidiâ ſui parte clau-
dicantem explicationem doctri-
næ relinquere; age anagogicum
quoque literali ſenſum, velut al-
terum bigæ animal reddamus,
profundiùs hanc Scripturã ſpe-
culando. Non enim is eſt qui
contemni poſſit Paulus, quem
modò vidimus tranſcenſo hu-
D ius dicti vulgari ſenſu, ad Chriſti
illud myſterium Eccleſiæq; rra-
duxiſſe. Atque hîc primùm diſ-
quirendum, an Adam compara-
ri poſſit Filio Dei; ille, inquam,
Adam in lapſu præuaricationis
deprehenſus, quíque audiuit:
Terra es, & in terram reuerteris. Gen. 3.19.
Quomodo verò idem etiam pri-
mogenitus omnis creaturæ re-

perietur, qui poſt terram & fir-A mamentum è luto formatus eſt? Rurſus, qua ratione lignum vitę ipſum eſſe concedetur, qui eiicitur propter prævaricationem, ne rurſus extendat manum, ac comedat ex ipſo, & viuat in æternum? Quod enim comparatur alteri, tamquam ei ſimile, eius vtique referre lineamenta & colores debet: non autem B contrario planè modo ſe habere, & quaſi ex oppoſitis conſtare. Nemo enim qui impar pari, & harmoniam incompoſitæ confuſioni comparare audeat, ſapiens habebitur. Sed par ei rei, quæ item naturâ par ſit, rectè comparabitur, etiamſi non ex toto, & ad æqualitatem paritas conſtet. ſic album albo, etiam ſi minùs mul-C tò album ſit, tamen habens, vnde verè album dicatur, fundamentum comparationis habet. Iam par, & harmonicum, & candidum rectè dici quod peccati expers eſt, & corruptionis, in confeſſo apud ſapientes eſt: vti & meritò impari, inharmonicóque, id quod eſt morti ac peccato affine, ac propter D damnationem eiectum, pœnáque multatum, ſimile cenſeri. Hæc ferè arbitror eſſe, quæ obiectantur à multis, qui nolunt primum hominem ad Chriſtum referri, deſpicientes, vt apparet, prudentiam Pauli. Age verò & nos conſideremus, quàm orthodoxè retulerit Adamum ad Chriſtum, non ſolùm

A θήσεται ὁ μετὰ τὴν γῆν καὶ τὸ στερέωμα πηλοπλαστούμενος; πῶς δὲ καὶ τὸ ξύλον τῆς ζωῆς αὐτὸς εἶναι συγχωρηθήσεται, ὁ ἐκβαλλόμενος διὰ τὴν παράβασιν, ἵνα μὴ πάλιν ἐκτείνας τὴν χεῖρα, καὶ φαγὼν ἀπ' αὐτοῦ, ζήσεται εἰς τὸν αἰῶνα; τὸ γὰρ ἀπεικαζόμενον, ἐκείνῳ οὗ ἐστιν ἀπείκασμα, ὁμοιοῦσθαι καὶ παραβάλ- B λεσθαι κατὰ πολλὰ χρὴ, ἀλλὰ μὴ ἐκ τῶν ἐναντίων καὶ ἀνοικείων τὴν σύστασιν ἔχειν. οὐ γὰρ ἂν τὸ ἄνισον τῷ ἀρτίῳ, ἢ τὴν ἁρμονίαν τῇ ἀναρμοστίᾳ τις ἐξισάσαι τολμῶν, ὡς ἔμφρων ἀποδεχθήσεται· ἀλλὰ τὸ ἴσον τῷ φύσει ἴσῳ, κἂν ἐξ ὀλίγου ἴσον ᾖ, καὶ τὸ λευκὸν τῷ φύσει λευκῷ, κἂν αὐτὸ βραχύ- C τατον ᾖ, καὶ μετρίως φωτάζοιτο τὴν λευκότητα ἐκείνου, δι' ἣν δὴ καὶ αὐτὸ λέγεται λευκόν· ἴσον δὲ, καὶ ἁρμόνιον, καὶ λαμπρὸν, τὸ ἀναμάρτητον εἶναι καὶ ἀδιάφθορον ἀνενδοιάστως παντί που σαφὲς τὴν σοφίαν*· ἀνάρτιον δὲ καὶ ἀναρμόνιον, τὸ θνητὸν καὶ ἁμαρτωλὸν, καὶ διὰ κατάγνωσιν ἐκβληθὲν, καὶ ὑπὸ καταδί- D κην ἐληλυθός. Τὰ μὲν οὖν δὴ πρὸς τῶν πολλῶν ἀντιπροφερόμενα, σχεδὸν εἶναι τοιαῦτα δὴ νομίζω, ὅσοι δὴ μὴ θέλουσιν εἰς Χριστὸν ἀναφέρεσθαι τὸν πρῶτον ἄνθρωπον, καταφρονοῦντες τῆς συνέσεως, ὡς εἰκὸς, Παύλου. Φέρε γὰρ ἡμεῖς ἐπισκεψώμεθα, πῶς ὀρθοδόξως ἀνήγαγε τὸν Ἀδὰμ εἰς τὸν Χριστὸν, οὐ μόνον

αὐτὸν τύπον ἡγούμενος καὶ εἰκόνα, ἀλλὰ καὶ αὐτὸ τοῦτο Χριστὸν καὶ αὐτὸν γεγονέναι, διὰ τὸ τὸν πρὸ αἰώνων εἰς αὐτὸν ἐγκατασκῆψαι λόγον. ἥρμοσε γὰρ, τὸ πρωτόγονον τοῦ θεοῦ, καὶ πρῶτον βλάστημα καὶ μονογενὲς τὴν σοφίαν, τῷ πρωτοπλάστῳ, καὶ πρώτῳ, καὶ πρωτογόνῳ τῶν ἀνθρώπων ἀνθρώπῳ κερασθεῖσαν ἐνηνθρωπηκέναι. τοῦτο γὰρ εἶναι τὸν B Χριστὸν, ἄνθρωπον ἀκράτῳ θεότητι καὶ τελείᾳ πεπληρωμένον, καὶ θεὸν ἐν ἀνθρώπῳ κεχωρημένον. ἦν γὰρ πρεπωδέστατον, τὸν πρεσβύτατον τῶν αἰώνων, καὶ πρῶτον τῶν ἀρχαγγέλων, ἀνθρώποις μέλλοντα συνομιλεῖν, εἰς τὸν πρεσβύτατον καὶ πρῶτον τῶν ἀνθρώπων εἰσοικισθῆναι τὸν Ἀδάμ. ταύτῃ γὰρ ἀναζω- C γραφῶν τὰ ἐξ ὑπαρχῆς, καὶ ἀναπλάσσων αὖθις ἐκ παρθένου καὶ πνεύματος, τεκταίνεται τὸν αὐτόν· ἐπειδὴ καὶ κατ' ἀρχὰς, οὔσης παρθένου γῆς ἔτι καὶ ἀνηρότου, λαβὼν χοῦν, τὸ λογικώτατον ἐπλάσατο ζῷον ἀπ' αὐτῆς ὁ θεὸς δίχα σπορᾶς. καί μοι ἐχέγγυος μάρτυς, καὶ σαφὴς, ὁ προφήτης Ἱερεμίας παρήτω· καὶ κα- D τέβην εἰς τὸν οἶκον τοῦ κεραμέως, λέγων, καὶ ἰδοὺ αὐτὸς ἐποίει ἔργον ἐπὶ τῶν λίθων· καὶ διέπεσε τὸ ἀγγεῖον, ὃ αὐτὸς ἐποίει ἐν ταῖς χερσὶν αὐτοῦ· καὶ πάλιν ἐποίησεν αὐτὸ ἀγγεῖον ἕτερον, καθὼς ἤρεσεν ἐνώπιον αὐτοῦ ποιῆσαι. ἔτι γὰρ πηλουργούμενον τὸν Ἀδὰμ, ὡς ἔστιν εἰπεῖν,

A quòd Chriſti figuram & imaginem Adamum fuiſſe cenſuerit, ſed & quòd verè Chriſtum extitiſſe, ipſum quoque putauerit, propterea quòd Verbum, ante ſæcula exiſtens, in illum venerit, eique ſe iunxerit. Congruum enim fuit Primogenitum Dei, & primum, vnigenitúmque ſemen, ſapientiam, primùm formato, principi, & primogenito hominum homini mixtam, factam eſſe hominem. Hoc enim eſſe Chriſtum, hominem merâ diuinitate & perfectâ plenum, & Deum in homine quodammodo incluſum. Erat enim decentiſſimum, antiquiſſimum Æonum, & primum Archangelorum verſari cum hominibus volentem, in antiquiſſimum, & primum hominum inſinuari Adamum, in eoque habitare. Eo ſcilicet modo recolorans, & refingens priora, rurſus ex Virgine ac Spiritu fabricatus ipſum; quandoquidem ſimiliter à principio, cùm terra virgo adhuc & inarata eſſet, accepto Deus luto, rationale ex ipſo formauit animal ſine ſemine. Adſit mihi huius rei teſtis idoneus, & diſertus, Propheta Hierem. *Et deſcendi*, dicens, *in domum figuli, & ecce ipſe faciebat opus ſuper lapides, & cadendo diſſipatum eſt vas, quod ipſe faciebat in manibus ſuis, & rurſus fecit illud vas alterum, ſicut placuerat in conſpectu ſuo facere.* Adhuc ſcilicet dum ex luto formaretur, vt ſic dicamus, Adam,

Dum ait S. Methodius Adamum fuiſſe à Verbo aſſumptũ, non ita intelligendũ hoc eſt, quaſi totũ corpus & anima, & indiuidua natura primi hominis Chriſto carnem aſſumenti vnita fuerit: ſed quòd caro ex Adamo propagata, & qua parte ſui quadã in ipſo extiterit, aſſumpta fuerit à Verbo ſe incarnante. Atque ideo Adamus ipſe quodammodo ſecundùm aliquid ſui Chriſtus fuerit.

Hierem. 18. 3.

cùm mollis & aquoſus, nec dum incoctus tegulæ ritu, immortalitate duratus eſſet, à peccato aquæ inſtar diſtillante ac defluente diſſolutus eſt. Quare rurſus eum ab integro madefaciens, & refingens in honorem Deus, in virginali durans primùm & compingens vtero, ſimúlque vniens & miſcens Verbo', ſolidum & ſincerum eduxit in vitam: ne rurſum extrinſecùs inundatus corruptionis fluctibus, putredine innaſcente corrueret. Vti & in parabola de inuentione ouis, videtur docuiſſe Dominus meus, vbi ait ad adſtantes: *Quis eſt ex vobis homo, qui habet centum oues, & ſi perdiderit vnam ex illis, non ne dimittit nonaginta nouem in deſerto, & vadit ad illam quæ perierat, donec inueniat eam? & cùm inuenerit eam, imponit in humeros, gaudens, & veniens domum, conuocat amicos & vicinos, dicens illis: congratulamini mihi, quia inueni ouem meam, quæ perierat.* Quoniam enim ipſe veriſſimè erat, & eſt, in principio exiſtens apud Deum, & Deus exiſtens, Imperator, & Paſtor cæleſtium, cui omnia obtemperant, & obſequuntur ratione prædita, ordinatiſſimè regens, & numerans multitudines beatorum Angelorum. Hic enim eſt ille par & perfectus numerus immortalium animantium, in genera

A καὶ τηκτὸν ὄντα καὶ ὑδαρῆ, καὶ μηδέπω φθάσαντα, δίκην ὀστράκου, τῇ ἀφθαρσίᾳ κραταιωθῆναι, ὕδωρ ὥσπερ καταλειβομένη καὶ καταστάζουσα διέλυσεν αὐτὸν ἡ ἁμαρτία. Διὸ δὴ πάλιν ἄνωθεν ἀναδεύων καὶ πηλοπλαστῶν τὸν αὐτὸν εἰς τιμὴν ὁ θεός, ἐν τῇ παρθενικῇ κραταιώσας πρῶτον καὶ πήξας μήτρᾳ, καὶ
B συνενώσας καὶ συγκεράσας τῷ λόγῳ, ἄτηκτον καὶ ἄθραυστον ἐξήγαγεν εἰς τὸν βίον· ἵνα μὴ πάλιν τοῖς τῆς φθορᾶς ἔξωθεν ἐπικλυσθεὶς ῥεύμασι τηκεδόνα γεννήσας διαπέσῃ, ὡς καὶ ἐν τῇ περὶ τῆς ἀνευρέσεως τοῦ προβάτου φαίνεται διδάσκων ὁ κύριος παραβολῇ· ἔνθα φησὶν ὁ κύριός μου πρὸς τοὺς παρεστηκό-
C τας. Τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃς ἔχει ἑκατὸν πρόβατα, κἂν ἀπολέσῃ ἓν ἐξ αὐτῶν, οὐκ ἀφίησι τὰ ἐνενήκοντα ἐννέα ἐπὶ τοῖς ὄρεσι, καὶ πορευθεὶς ἐπὶ τὸ ἀπολωλὸς ζητεῖ αὐτὸ ἕως εὕρῃ; καὶ εὑρὼν ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους αὐτοῦ· καὶ ἐλθὼν εἰς οἶκον, συγκαλεῖται τοὺς φίλους καὶ τοὺς γείτονας, λέγων· συγχάρητέ
D μοι, ὅτι εὑρέθη τὸ πρόβατόν μου, τὸ ἀπολωλός. Ἐπεὶ γὰρ αὐτὸς ὡς ἀληθῶς ἦν τε καὶ ἔστιν, ἐν ἀρχῇ ὢν πρὸς τὸν θεόν, καὶ θεὸς ὤν, ὁ ἀρχιστράτηγος καὶ ποιμὴν τῶν κατ' οὐρανόν, ᾧ πάντα πείθονται καὶ ὁμαρτοῦσι τὰ λογικά, ποιμαίνων εὐτάκτως καὶ ἀριθμῶν τὰ πλήθη τῶν μακαρίων ἀγγέλων. Οὗτος γὰρ ἴσος καὶ τέλειος ἀριθμὸς ἀθανάτων ζώων, κατὰ γένη

καὶ φῦλα διῃρημένων, συμπαραληφθέντος ἐνταῦθα τῇ ποίμνῃ καὶ τοῦ ἀνθρώπου. δεδημιούργητο γὰρ καὶ αὐτὸς ἔξω φθορᾶς, ἵνα τὸν βασιλέα γεραίρῃ πάντων καὶ ποιητὴν, ἀντίφθογγα μελῳδῶν ταῖς τῶν ἀγγέλων ἐξ οὐρανοῦ φερομέναις βοαῖς. ἀλλ' ἐπεὶ συνέβη παρεληλυθότα τὴν ἐντολὴν, ὀλέθριον πτῶμα καὶ δεινὸν πεσεῖν, εἰς θάνατον ἀναστοιχειωθέντα· διὰ τοῦτό φησιν ὁ κύριος, ἑαυτὸν εἰς τὸν βίον ἐκ τῶν οὐρανῶν ἐληλυθέναι, καταλελοιπότα τὰς τάξεις, καὶ τὰ στρατόπεδα τῶν ἀγγέλων. ἀπεικονιστέον γὰρ τὰ μὲν ὄρη τοῖς οὐρανοῖς· τὰ δὲ ἐνενήκοντα ἐννέα πρόβατα ταῖς δυνάμεσι, καὶ ταῖς ἀρχαῖς, καὶ ταῖς ἐξουσίαις, ἃς καταλέλοιπεν, ἀναζητῆσαι κατελθὼν τὸ ἀπολωλὸς πρόβατον ὁ στρατηγὸς καὶ ποιμήν· ἔλειπε γὰρ ἄνθρωπον εἰς τὸν βίβλον ἐγκαταλεχθῆναι ταύτην ἔτι καὶ τὸν ἀριθμόν, βαστάσαντος αὐτὸν τοῦ κυρίου καὶ ἀμφιεσαμένου· ἵνα μὴ καὶ πάλιν, ὡς ἔφην, ταῖς τρικυμίαις καὶ ταῖς ἀπάταις περικλυσθεὶς καταποντωθῇ. ταύτῃ γὰρ τὸν ἄνθρωπον ἀνείληφεν ὁ λόγος, ὅπως δὴ δι' αὐτοῦ καταλύσῃ τὴν ἐπ' ὀλέθρῳ γεγονυῖαν καταδίκην, ἡττήσας τὸν ὄφιν. ἥρμοζε γὰρ τὸ μὴ δι' ἑτέρου νικηθῆναι τὸν πονηρόν, ἀλλὰ δι' ἐκείνου, ὃν δὴ καὶ ἐκόμπαζεν ἀπατήσας αὐτὸν τετυραννηκέναι· ὅτι μὴ ἄλλως τὴν ἁμαρτίαν λυθῆναι καὶ τὴν κατάκρισιν δυνατὸν ἦν, εἰ μὴ πά-

A & ſpecies diſtinctus, aggregato hîc tali gregi etiam homine: creatus quippe ipſe quoque eſt ſine corruptione, vt Regem vniuerſorum, & Creatorem laudet celebrétque, altero velut choro reſpondens vocibus Angelorum è cælo reſonantibus. Verùm quia contigit, eum violato B Dei mandato, graui & pernicioſo lapſu corruere, reſolutum in mortem: propterea dicit Dominus, ſeipſum in mundum è cælis veniſſe, relictis ordinibus & exercitibus Angelorum. Montes enim cælos deſignare putandum eſt: per oues verò nonaginta nouem, Virtutes, Principatus & Poteſtates, quas C reliquit, deſcendens ad quærendum quod perierat, Imperator & Paſtor. Conſequens enim fuit hominem iſti catalogo & numero accenſeri, quem portaſſet & induiſſet Dominus: ne rurſus, vt dixi, tempeſtatibus & fraudibus circumuentus demergeretur. Eo namque conſilio ſuſceptus homo à Verbo eſt, D vt per ipſum dilueret exitioſam ipſi maledictionem, vincens ſerpenrem. Conſentaneum quippe fuit, non ab alio vinci diabolum, quàm ab illo ipſo, quem gloriabatur à ſe deceptum tyrannidi ſe ſuæ ſubiugaſſe. Neque verò aliter peccatum aboleri & damnationem poſſibile erat, niſi rur-

ſus ipſe ille homo, in quem di-
Gen. 3. 19. ctum erat, *Terra es, & in terram ibis*, reformatus antiquaſſet illam ſententiam, per ipſum in omnes pertinentem: vt ſicur in Adam priùs omnes moriebantur, ſic rurſus in aſſumente Adamum Chriſto, omnes viuificarentur. Hactenus ſatis expoſuiſſe mihi videor, quemadmodum homo inſtrumentum factus, & indumentum Vnigeniti, idem effecerit quod ipſe, qui in ipſum introductus eſt. Quòd autem neque imparitas ipſe ſit, neque inconcinnitas, rurſus à capite breuiter eſt conſiderandum. Etenim propriâ naturâ bonum, & propriâ naturâ iuſtum ac ſanctum, cuius participatione alia fiunr bona, ſapientiam eſſe poſt Deum qui dixerit, rectiſſimè loquetur: contra verò prauum & iniuſtum, & malum, peccatum eſſe. Duo ſiquidem ſummè inuicem oppoſita, vita & mors, incorruptibilitas & corruptio. Paritas enim eſt vita, imparitas verò corruptio, & harmonia quidem iuſtitia & prudentia; confuſio verò, imprudentia & iniuſtitia. Homo autem inter hæc medius, neque per ſe iuſtitia eſt, neque iniuſtitia, ſed in medio conſtitutus incorruptibilitatis & corruptionis, ad vtrumuis horum propendens deflexerit, in eius à quo victus ſit transferri naturam dicitur. de-

A λιν ὁ αὐτὸς ἐκεῖνος ἄνθρωπος, δι' ὃν εἴρηται, γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ, ἀναπλασθεὶς ἀνέλυσε τὴν ἀπόφασιν, τὴν δι' αὐτὸν εἰς πάντας διεξενηνεγμένην· ὅπως καθὼς ἐν τῷ Ἀδὰμ πρότερον πάντες ἀπεθνήσκοιεν, οὕτω δὴ πάλιν καὶ ἐν τῷ ἀνειλημφότι Χριστῷ τὸν Ἀδὰμ πάντες ζωοποιηθῶσι. καὶ περὶ μὲν τοῦ τὸν
B ἄνθρωπον ὄργανον γεγονότα καὶ ἔνδυμα τοῦ μονογενοῦς τοῦτο ἀπεργάσασθαι, ὅπερ καὶ αὐτὸς ὁ εἰς αὐτὸν εἰσοικισθεὶς, σχεδὸν ἤδη μοι δοκεῖ τέλος ἔχειν· τὸ δὲ ὅτι μήτε ἀνισότης ἐστὶ, μήτε μὴν ἀναρμοστία, πάλιν ἐξ ἀρχῆς διὰ βραχέων ἐπισκεπτέον· τὸ γὰρ αὐτοφυὲς καλὸν, καὶ αὐτοφυὲς δίκαιον καὶ ὅσιον,
C οὗ τὰ ἄλλα, κατὰ μετοχὴν γίνεται καλὰ, τὴν σοφίαν ὁ λέγων τυγχάνειν μετὰ τὸν θεὸν, ὀρθότατα λέγει· τὸ δὲ αὖ ἀνόσιον καὶ ἄδικον, καὶ πονηρὸν, τὴν ἁμαρτίαν. δύο γὰρ τὰ εἰς ἄκρον ἀλλήλοις ἐναντία, ζωὴ καὶ θάνατος, ἀφθαρσία καὶ φθορά· ἰσότης μὲν γάρ ἐστιν ἡ ζωὴ, ἀνισότης δὲ ἡ φθορά· καὶ ἁρμονία μὲν
D ἡ δικαιοσύνη καὶ ἡ φρόνησις, ἀναρμοστία δὲ ἡ ἀφροσύνη καὶ ἡ ἀδικία· ὁ δὲ ἄνθρωπος τούτων ὢν μεταξὺ, οὔτε αὐτὸ τοῦτο δικαιοσύνη, οὔτε μὴν ἐστιν ἀδικία· ἀλλὰ τῆς ἀφθαρσίας ἐν μέσῳ βεβηκὼς καὶ τῆς φθορᾶς, εἰς ὁπότερον αὐτῶν νεύσας περιλαμφθῇ, εἰς τὴν τοῦ κρατήσαντος μεταβάλλεσθαι λέγεται φύσιν. ἐκ-

κλίνας μὲν γὰρ εἰς τὴν φθοράν, A
φθαρτὸς γίνεται καὶ θνητός· εἰς δὲ
τὴν ἀφθαρσίαν, ἄφθαρτος καὶ ἀ-
θάνατος· μεθόριος γὰρ τοῦ τῆς ζωῆς
ξύλου, καὶ τοῦ γνωστοῦ καλοῦ τε καὶ
πονηροῦ τεθείς, οὗπερ ἀπεγεύσατο
τῶν καρπῶν, εἰς τὴν τούτου καὶ με-
τεβλήθη μορφήν, οὔτε τὸ τῆς ζωῆς
ξύλον αὐτὸς ὤν, οὔτε τὸ τῆς φθο-
ρᾶς· ἀλλὰ μετοχῇ μὲν καὶ παρουσίᾳ B
φθορᾶς, θνητὸς φανείς· προσοι-
κειώσει δὲ καὶ ἀλοιφῇ ζωῆς, ἄ-
φθαρτος πάλιν καὶ ἀθάνατος· ὥσ-
περ καὶ Παῦλος ἐδίδαξε, λέγων· οὐ
γὰρ ἡ φθορὰ κληρονομήσει τὴν ἀ-
φθαρσίαν, οὐδὲ ὁ θάνατος τὴν
ζωήν· φθορὰν μὲν καὶ θάνατον αὐτὸ
τὸ φθεῖρον ὁρισάμενος εἰκότι λό-
γῳ καὶ τὸ ἀποκτεῖνον, ἀλλ᾽ οὐ τὸ C
φθειρόμενον καὶ θνῆσκον· ἀφθαρ-
σίαν δὲ καὶ ζωήν, αὐτὸ τὸ ἀθανατίζον
καὶ ζωοποιοῦν, ἀλλ᾽ οὐ τὸ ἀθανατι-
ζόμενον καὶ ζωοποιούμενον. ὥστε οὔτε
ἀναρμοστία καὶ ἀνισότης ὁ ἄνθρωπος
ἐστίν, οὔτε μὴν ἰσότης καὶ εὐαρμο-
στία· ἀλλ᾽ ὅτε μὲν ἐδέξατο τὴν ἀν-
αρμοστίαν, ὅπερ ἐστὶ τὴν παράβασιν
καὶ τὴν ἁμαρτίαν, γέγονεν ἀνάρμοστος, D
καὶ ἀπρεπής· ὅτε δὲ τὴν ἁρμονίαν,
τουτέστι τὴν δικαιοσύνην, γέγονεν
εὐάρμοστον ὄργανον καὶ εὐπρεπές·
ὅπως ὁ κύριος ἡ ἀφθαρσία νι-
κήσασα τὸν θάνατον, εὐήχως τὴν
ἀνάστασιν μελῳδήσῃ τῇ σαρκί, μὴ
ἐάσας αὐτὴν κληρονομηθῆναι πά-
λιν ὑπὸ τῆς φθορᾶς. καὶ μὲν δὴ

clinans enim in corruptionem,
corruptibilis fit & mortalis: ver-
gens autem ad incorruptibilita-
tem, incorruptibilis & immor-
talis. In confiniis quippe ſitus
arboris vitæ, & arboris ſcientiæ
boni & mali, ex vtrius guſtaue-
rit fructibus, in eius formam
commutatur, neque per ſe vitæ
arbor exiſtens, neque rurſum
corruptionis: ſed participatione
quidem & præſentiâ corruptio-
nis, mortalis oſtenſus, adiunctio-
ne verò & complexu vitæ, incor-
ruptibilis & immortalis: ſicuti
& Paulus docuit, dicens: *Non* 1. Cor. 15. 50.
enim corruptio hereditabit incor-
ruptionem, neque mors vitam:
corruptionem quidem & mor-
tem illud quod corrumpit & oc-
cidit meritò vocans; non au-
tem id quod corrumpitur aut
moritur: vti & incorruptionem
& vitam, ipſum quod immor-
talem facit & quod viuificat;
non autem id quod immortale
fit, & quod viuificatur. Quare
neque confuſio, neque impa-
ritas homo per ſe eſt, neque i-
tem paritas & concinnitas: ve-
rùm vbi quidem acceperit con-
fuſionem, hoc eſt, præuarica-
tionem & peccatum, fit incon-
cinnus & indecens: vbi verò
harmoniam, ſiue concinnita-
tem, hoc eſt iuſtitiam, fit con-
cinnum inſtrumentum & de-
cens: vt Dominus, ipſa incor-
ruptio victrix mortis, conſo-
nè reſurrectionem canat carni,
non paſſus eam poſſideri rur-
ſus à corruptione. De hoc quo-

que capite ſatis hactenus dictum eſto. Præſtruximus enim non leuibus Scripturarum argumentis, quomodo primus homo rectè ad ipſum referri Chriſtum potuerit, non ſolùm typus, & effigies, & imago Vnigeniti exiſtens, ſed factus ipſa ſapientia & Verbum. inſtar enim aquæ commixtus homo ſapientiæ & vitæ, hoc factus eſt, quod erat illa ipſa, quæ in eum aduenit puriſſima lux: vnde Apoſtolus rectè ad Chriſtum direxit, quæ de Adamo dicuntur. Sic enim maximè ex oſſibus & ex carne eius Eccleſiam extitiſſe conueniet: cuius ſcilicet gratiâ, relicto Patre qui eſt in cælis, deſcendit Verbum vt adhæreret vxori, & dormiuit exſtaſim paſſionis, voluntariè pro ipſa mortuus, vt ipſe ſibi exhiberet Eccleſiam glorioſam & irreprehenſibilem, mundans eam lauacro, ad ſuſceptionem ſpiritalis & beati ſeminis, quod ſeminat quidem ipſe inſuſurrans & penitus inſerens in penetralibus mentis: concipit verò & format inſtar vxoris Eccleſia ad generandam enutriendámque virtutem. Iſto enim modo illud mandatum: *Creſcite & multiplicamini*, conuenienter impletur, proficiente in magnitudinem, decorem, & numerum, in dies Eccleſiâ, ob coniunctionem & communicationem Verbi

Gen. 1.27.

A καὶ περὶ τούτων αὐτάρκως ἤδη λελέχθω. προγεγύμνασται γὰρ μετὰ συστάσεων οὐκ εὐκαταφρονήτων ἐκ τῆς γραφῆς, ὡς ἄρα ὁ πρωτόπλαστος οἰκείως εἰς αὐτὸν ἀναφέρεσθαι δύναται τὸν Χριστόν, οὐκέτι τύπος ὤν, καὶ ἀπείκασμα μόνον, καὶ εἰκὼν τοῦ μονογενοῦς, ἀλλὰ καὶ αὐτὸ τοῦτο σοφία γεγονὼς καὶ λόγος. B δίκην γὰρ ὕδατος συγκερασθεὶς ὁ ἄνθρωπος τῇ σοφίᾳ καὶ τῇ ζωῇ, τοῦτο γέγονεν ὅπερ ἦν αὐτὸ τὸ εἰς αὐτὸν ἐγκατασκῆψαν ἄκρατον φῶς. ὅθεν ὁ ἀπόστολος εὐθυβόλως εἰς Χριστὸν ἀνηκόντισε τὰ κατὰ τὸν Ἀδάμ. οὕτως γὰρ ἂν μάλιστα ἐκ τῶν ὀστῶν αὐτοῦ καὶ τῆς σαρκὸς τὴν ἐκκλησίαν συμφωνήσῃ γεγονέναι· ἧς δὴ χάριν C καταλείψας τὸν πατέρα τὸν ἐν τοῖς οὐρανοῖς, κατῆλθεν ὁ λόγος προσκολληθησόμενος τῇ γυναικὶ, καὶ ὕπνωσε τὴν ἔκστασιν τοῦ πάθους, ἑκουσίως ὑπὲρ αὐτῆς ἀποθανών. ὅπως αὐτὸς ἑαυτῷ παραστήσῃ τὴν ἐκκλησίαν ἔνδοξον καὶ ἄμωμον, καθαρείσας τῷ λουτρῷ πρὸς ὑποδοχὴν τοῦ νοητοῦ καὶ μακαρίου σπέρ- D ματος, ὃ σπείρει μὲν αὐτὸς ὑπηχῶν καὶ καταφυτεύων ἐν τῷ βάθει τοῦ νοός· ὑποδέχεται δὲ καὶ μορφοῖ δίκην γυναικὸς ἡ ἐκκλησία, εἰς τὸ γεννᾶν τὴν ἀρετὴν, καὶ ἐκτρέφειν. ταύτῃ γὰρ καὶ τὸ αὐξάνεσθε, καὶ πληθύνεσθε, πληροῦται προσηκόντως, εἰς μέγεθος καὶ κάλλος καὶ πλῆθος καθ' ἡμέραν αὐξανομένης αὐτῆς, διὰ τὴν σύνερξιν καὶ κοινωνίαν τοῦ λόγου

συγκαταβαίνοντος ἡμῖν ἔτι καὶ νῦν, A καὶ ἐξισταμένου κατὰ τὴν ἀνάμνησιν τοῦ πάθους. οὐ γὰρ ἂν ἄλλως ἡ ἐκκλησία συλλαβεῖν τοὺς πιστεύοντας καὶ ἀναγεννῆσαι διὰ λουτροῦ τῆς παλιγγενεσίας δύναιτο, ἐὰν μὴ καὶ διὰ τούτους ὁ Χριστὸς κενώσας ἑαυτὸν, ἵνα χωρηθῇ κατὰ τὴν ἀνακεφαλαίωσιν, ὡς ἔφην, τοῦ πάθους, πάλιν ἀποθάνῃ καταβὰς ἐξ οὐρανῶν, B καὶ προσκολληθεὶς τῇ ἑαυτοῦ γυναικὶ τῇ ἐκκλησίᾳ, παράσχοι τῆς πλευρᾶς ἀφαιρεῖσθαι τὴν ἑαυτοῦ δύναμίν τινα, ὅπως αὐξηθῶσιν οἱ ἐν αὐτῷ οἰκοδομηθέντες ἅπαντες, οἱ γεγεννημένοι διὰ τοῦ λουτροῦ, ἐκ τῶν ὀστῶν καὶ ἐκ τῆς σαρκὸς, τουτέστιν ἐκ τῆς ἁγιοσύνης αὐτοῦ καὶ ἐκ τῆς δόξης προσειληφότες. ὀστᾶ γὰρ καὶ σάρκα σοφίας ὁ λέγων εἶναι σύνεσιν C καὶ ἀρετὴν, ὀρθότατα λέγει· πλευρὰν δὲ τὸ πνεῦμα τῆς ἀληθείας τὸ παράκλητον, ἀφ' οὗ λαμβάνοντες, εἰς ἀφθαρσίαν ἀναγεννῶνται προσηκόντως οἱ πεφωτισμένοι· ἀδύνατον δὲ τοῦ πνεύματος τοῦ ἁγίου μεταχεῖν τινα, καὶ μέλος καταλεχθῆναι Χριστοῦ, ἐὰν μὴ πρότερον καὶ ἐπὶ τούτου συγκατελθὼν ὁ λόγος ἐκστῇ κοιμη- D θείς· ἵνα τὴν ἀνανέωσιν καὶ τὸν ἀνακαινισμὸν συνεξαναστὰς τοῦ ὕπνου τῷ ὑπὲρ αὐτοῦ κεκοιμημένῳ, καὶ αὐτὸς μεταλαβεῖν δυνηθῇ πνεύματος ἀναπλησθείς. τοῦτο γὰρ κυρίως ἂν ἡ πλευρὰ λέγοιτο τοῦ λόγου, τὸ πνεῦμα τῆς ἀληθείας τὸ ἑπτάμορφον κατὰ τὸν προφήτην· ἀφ' οὗ λαμβάνων

A accomodantis & admouentis ſe nobis etiam nunc; & rurſus quodammodo exſtaſim paſſionis per ſuæ mortis commemorationem iterantis. Non enim aliter Eccleſia concipere credentes, & regenerare per lauacrum regenerationis poſſet, niſi ptopter hos quoque Chriſtus exinaniens ſeipſum, vt eos capiat per recapitulationem, vt dixi, B paſſionis, rurſus moreretur deſcendens è cælis, & adhærens vxori ſuæ Eccleſiæ, tolli ſineret è latere ſuo vim quandam, vt creſcant qui in ipſo ædificati ſunt omnes, geniti per lauacrum ex oſſibus & ex carne, hoc eſt, qui ex ſanctitate ipſius & ex gloria ſumpſerunt. Oſſa enim & carnem ſapientiæ qui C dicit eſſe prudentiam & virtutem, rectiſſimè loquitur: coſtam autem Spiritum veritatis Paracletum, ex quo ſumentes, in incorruptionem regenerantur conuenienter, qui illuminati fuerunt. Fieri verò nequit vt Spiritûs ſancti particeps quiſquam fiat, & membrum aggregetur in corpus Chriſti, niſi priùs in ipſum quoque ad- D ueniens Verbum, exſtaſim paſſus fuerit dormiens, vt renouationem & reformationem, ſimul exurgens è ſomno cum eo qui pro ſe dormiuit, & ipſe percipere poſſit Spiritu repletus. Is enim propriè coſta dicatur Verbi, Spiritus veritatis ſeptiformis ſecundùm Prophetam. De quo accipiens

Deus poſt exſtaſim Chriſti, hoc eſt poſt incarnationem & paſſionem, adiutricem ipſi coniugem præparat, nimirum coniunctas ipſi & deſponſatas animas. Sæpius quippe congregationem ipſam & cœtum fidelium Eccleſiam ſic nominant Scripturæ: perfectioribus ob profectum in vnam perſonam & vnum corpus Eccleſiæ coëuntibus. Nam meliores, quíque iam liquidiùs perceperunt veritatem, purgatione perfectâ & fide felicem adepti ſterilitatem fructuum, vel potiùs, prauorum operum carnis, Eccleſia fiunt & adiutorium Chriſti, ſicut Virgo vna, vt Apoſtolus loquitur, ei copulati & deſponſati, vt puro & feraci doctrinæ ſuſcepto ſemine, cooperentur adiuuantes prædicatione ad reliquorum ſalutem. Imperfecti verò adhuc, & initiis ſolùm imbui cœpti dogmatum, in ſalutem parturiuntur & formantur, velut fœtus in vtero, à perfectioribus; donec maturo editi partu regenerentur in magnitudinem & pulcritudinem virtutis: ac viciſſim poſt idoneum & ipſi profectum Eccleſia facti, ad prolis alterius partum educationémque ſubſeruiant, vteri vice in vaſe animæ, voluntatem maturantes inuiolatam Verbi. Conſiderandum huius ordinis exemplum in celeberrimo Paulo. Cùm enim is

A ὁ θεὸς μετὰ τὴν ἔκστασιν τοῦ Χριστοῦ, ὃ δή ἐστι μετὰ τὴν ἐνανθρώπησιν καὶ τὸ πάθος, τὴν βοηθὸν αὐτοῦ κατασκευάζει, λέγω δὴ τὰς ἡρμοσμένας αὐτῷ, καὶ νενυμφευμένας ψυχάς. ἔστι γὰρ ὅτε πολλαχῶς αὐτὸ τὸ ἄθροισμα καὶ τὸ στῖφος τῶν πεπιστευκότων ἐκκλησίαν οὕτως ὀνομάζουσιν αἱ γραφαί, τῶν τελειοτέρων κατὰ προκοπὴν εἰς ἓν B πρόσωπον καὶ σῶμα τὸ τῆς ἐκκλησίας ἀναγομένων. οἱ μὲν γὰρ κρείττονες, καὶ γνησιώτερον ἀσπάσαντες ἤδη τὴν ἀλήθειαν, οὗτοι διὰ τὴν τελείαν κάθαρσιν καὶ πίστιν ἀποστειρωθέντες τῶν τῆς σαρκὸς ἀτοπημάτων, ἐκκλησία γίνονται καὶ βοηθὸς τοῦ Χριστοῦ, παρθένος ὥσπερ, κατὰ τὸν ἀπόστολον, αὐτῷ καθηρμοσμένοι τε καὶ νενυμφευμέ- C νοι, ἵνα τὴν καθαρὰν τῆς διδασκαλίας ὑποδεξάμενοι καὶ γόνιμον σποράν, συνεργήσωσι βοηθοῦντες τῷ κηρύγματι πρὸς τὴν τῶν λοιπῶν σωτηρίαν. οἱ δὲ ἀτελεῖς ἔτι, καὶ ἀπαρχόμενοι τῶν μαθημάτων, εἰς σωτηρίαν ὠδίνονται καὶ μορφοῦνται, ὥσπερ ὑπὸ μητράσι πρὸς τῶν τελειοτέρων, ἕως ἂν ἀποκυηθέντες D ἀναγεννηθῶσιν εἰς μέγεθος καὶ κάλλος ἀρετῆς· καὶ πάλιν αὖ κατὰ προκοπὴν ἐκκλησία καὶ οὗτοι γεγονότες, εἰς ἑτέρων τόκον ὑπουργήσωσι τέκνων, καὶ ἀνατροφήν, μήτρας δίκην ἐν τῷ δοχείῳ τῆς ψυχῆς τὸ θέλημα τελεσφορήσαντες ἀλώβητον τοῦ λόγου. ἐπισκέψασθαι γὰρ χρὴ καὶ τὰ κατὰ τὸν ἀοίδιμον Παῦλον· ὅτι ὁπότε

οὐδέ-

οὐδέπω τέλειος ὢν ἐν Χριστῷ, A γεννᾶται πρότερον καὶ γαλουχεῖται, εὐαγγελιζομένου καὶ ἀνακαινίζοντος αὐτὸν Ἀνανίου τῷ βαπτίσματι, καθὼς ἐν ταῖς πράξεσιν ἡ ἱστορία περιέχει. ὅτε δὲ ἀνδρώθη, καὶ ᾠκοδομήθη ἤδη εἰς τελειότητα πνευματικὴν ἀναπλασθεὶς, καὶ βοηθὸς ἀπειργάσθη καὶ νύμφη τοῦ λόγου, τὰ σπέρματα τῆς ζωῆς ὑποδεξάμενος καὶ συλλαβών, B ὁ πρότερος χρηματίσας παιδίον, ἐκκλησία γίνεται καὶ μήτηρ, ὠδίνων καὶ αὐτὸς τοὺς δι' αὐτοῦ τῷ κυρίῳ πεπιστευκότας, ἕως ἂν καὶ ἐν τούτοις ὁ Χριστὸς μορφωθεὶς ἀποτεχθῇ. τεκνία γάρ μου, φησὶν, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. καὶ πάλιν· ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ C ὑμᾶς ἐγέννησα. ἐκ τούτου ταύτῃ συνέστηκεν, εἰς τὴν ἐκκλησίαν ἀναφέρεσθαι καὶ τὸν Χριστὸν, τὸ κατὰ τὴν Εὔαν θεώρημα καὶ τὸν Ἀδάμ. τοῦτο γὰρ τὸ μέγα μυστήριον, ὡς ἀληθῶς, καὶ ὑπερκόσμιον, ὃ ἐγὼ δι' ἀσθένειαν καὶ ἀμβλύτητα νοὸς, κατ' ἀξίαν τοῦ καὶ μεγέθους εἰπεῖν ἀδυνατῶ· ὅμως δ' οὖν ἐπιχειρητέον. λέγειν γὰρ ἑπόμενον D ἂν εἴη λοιπὸν δὴ καὶ τὰ ἑξῆς πρὸς ὑμᾶς. ὁ γάρτοι Παῦλος εἰς ἁγιασμὸν ἐκκαλούμενος πάντας καὶ σωφροσύνην, ταύτῃ τὸ κατὰ τὸν πρωτόπλαστον καὶ τὴν Εὔαν, κατὰ δευτέραν ἐπαπόρησιν, εἰς Χριστὸν ἀνηκόντισε καὶ τὴν ἐκκλησίαν, πρὸς τὸ τοὺς ἀνεπιστήμονας καταστεγάσαι, γυμνουμένους προ-

A nondum perfectus in Chriſto eſſet, generatur primùm & lactatur, euangelizante ipſum & per baptiſmum renouante Anania, ſicut in Actibus hiſtoria exhibet. Quando autem factus eſt vir, & ædificatus iam eſt in perfectionem ſpiritus reformatus, & adiutorium effectus eſt & ſponſa Verbi, ſuſceptis & conceptis B ſeminibus vitæ: tunc qui priùs fuerat paruulus, Eccleſia fit & mater, parturiens eos & ipſe qui per ipſum Domino crediderant: donec in ipſis quoque Chriſtus formatus pareretur. Ait enim: *Filioli quos iterum parturio, donec formetur Chriſtus in vobis.* Gal.4.19. Et rurſus: *In Chriſto enim Ieſu per Euangelium* 1.Cor.4.15. C *ego vos genui.* Hinc igitur apparet, ad Chriſtum & Eccleſiam referri, quod de Eua & Adamo traditur. Magnum verè myſterium, & vſu mundi ſuperius: quod ego propter imbecillitatem & hebetudinem mentis, pro dignitate eius ac magnitudine diſſerere non valeo. tamen id facere conandum D eſt. Reſtat enim vt cætera loci huius apud vos exequar. Paulus ergo ad ſanctificationem & caſtitatem cunctos prouocans, ita vt diximus, quæ de homine primo feruntur & Eua, iuxta ſecundam expoſitionem ad Chriſtum direxit & Eccleſiam, quò indoctis os obſtrueret, prætextum illis & excuſationem eripiens om-

nem: qui laſciuiæ dediti, & libidine in ipſis prædominante corrupti deliciis, vim Scripturis inferre non dubitant, contra orthodoxam ipſas interpretantes veritatem: ac tamquam vallum obtendentes defendendæ incontinentiæ; tum id quod di-
Gen. 2.24. xit Deus: *Creſcite & multiplicamini.* Tum illud aliud: *Propter hoc relinquet homo patrem & matrem.* Neque ipſos pudet incurſare Spiritum ſanctum. Ac tamquam ad hoc nati ſint, ſubſidentem ac quaſi ſopitum concupiſcentiæ fomitem, velut torrem adhuc fumantem, flatu euentilant, & titillationibus redaccendunt. Quare ſatis acriter doloſa hæc ipſorũ & maligna conſilia, quæſitóſq; prætextus excutiẽs: cùm proceſſiſſet ad præſcribendum, quatenus, & quomodo accedere viros ad mulieres deceat: ac pronunciaſſet ita illos id agere debere, vt Chriſtus ſe coniunxit Eccleſiæ, ſeipſum pro ea tradens, vt ipſam ſanctificaret ac mundaret lauacro aquæ in verbo; recurrit ad Geneſim inductâ mentione eorum quæ illic dicuntur de primo homine, accomodans & illa ad ſui propoſiti ſententiam, ne anſam præbeat vllam verbis illis ſacris abutendi procurantibus voluptates prætextu propagationis humanæ ſpeciei. Conſiderate enim, ô Virgines, vt quàm efficaciſſimè volens ad caſtitatem inducere fideles, per multa ipſis argumenta inſinuare conatur

A φράσεων· ἀκολασταίνοντες γὰρ διὰ τὰς ὑπερβαλλούσας ῥύσεις ἐν αὐτοῖς τῆς ἡδυπαθειῶν, παρὰ τὸν ὀρθόδοξον βιάζεσθαι τολμῶσι λογισμὸν τὰς γραφάς, ὥσπερ ἔρυμα προτείνοντες ἀκρασίας τό, τὸ εἶπεν ὁ θεὸς αὐξάνεσθε καὶ πληθύνεσθε· καὶ τὸ ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα. οὐδὲ αἰσχύνονται B κατατρέχοντες τοῦ πνεύματος, ἀλλ' ὥσπερ ἐπὶ τούτῳ γεγονότες, ἐντυφόμενον ἔτι καὶ ἐνθωκεύοντα τὸν οἶστρον ἀναρριπίζουσιν, ἐξάπτοντες ἐρεθισμοῖς. διὸ δὴ καὶ μάλα δριμέως τὰς ἐπικλόπους ταύτας αὐτῶν κακοφροσύνας τε καὶ πεποιημένας προφάσεις ἐκκόπτων, ἐλθὼν εἰς τὸ διατάξασθαι, πῶς δέοι προσφέρεσθαι τοὺς ἄνδρας ταῖς γυναιξὶ, καὶ C ἀποφηνάμενος, ὅτι οὕτως ὥσπερ καὶ ὁ Χριστὸς τῇ ἐκκλησίᾳ ἑαυτὸν παραδιδοὺς ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν ἁγιάσῃ καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι· ἀνέδραμεν εἰς τὴν γένεσιν, ἐπιμνησθεὶς τῶν περὶ τὸν πρωτόπλαστον ῥητῶν, ἐξομαλίζων εἰς τὸ προκείμενον αὐτῷ καὶ αὐτὰ νομῷ τῆς ὑποθέσεως· ὅ- D πως μὴ παράσχῃ λαβὴν τοῖς κεφαλαίοις καταχρήσασθαι τούτοις τοὺς προσβάλλοντας, προφάσει τεκνογονίας, σωμάτων παρατριβάς. ἐπισκέψασθε γάρ, ὅτι σωφρονεῖν, ὦ παρθένοι, κατὰ κράτος θέλων τοὺς πεπιστευκότας, διὰ πολλῶν αὐτοῖς τεκμηρίων ὑπεμφαίνειν πειρᾶται

τὸ ἀξίωμα τῆς ἁγνείας ὅτι μέν· περὶ A
δὲ ὧν ἐγράψατέ μοι, λέγων, κα-
λὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτε-
σθαι· αὐτόθεν δεικνὺς ἤδη περιφα-
νῶς, τὸ μὴ προσψαύειν γυναικὸς
εἶναι καλὸν, προστάξας αὐτὸ καὶ προ-
εκθέμενος ἀπολελυμένως· εἶτα τὴν
ἀσθένειαν αὖθις συνιδὼν, καὶ τὴν
ὑπερέκκαυσιν τῶν ἀκρατεστέρων τὴν εἰς
συνουσίαν, συνεχώρησε τοῖς μὴ B
δυναμένοις ἄρχειν σαρκὸς, χρῆσθαι
ταῖς αὐτῶν ὁμευνοῖς μᾶλλον, ἢ
παραπίπτοντας ἀσχημόνως ἐκχύσθαι
περὶ πορνείας. ἀμέλει μετὰ τὸ ἐπι-
τρέψαι ταῦτα, εὐθέως παρήγαγε
τόδε· ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ Σα-
τανᾶς διὰ τὴν ἀκρασίαν· ὅπερ ἐστίν·
εἰ μὴ δύνασθε, ὦ οὗτοι, παντά-
πασι σωφρονεῖν διὰ τὴν ἀκρα- C
σίαν καὶ τὴν ὑγρότητα τῶν σωμάτων,
ἐπιτρέψω μᾶλλον ταῖς σφῶν αὐ-
τῶν κοινωνεῖν γαμεταῖς· ἵνα μὴ τὴν
ἐγκράτειαν ἐπαγγέλλεσθαι νομιζόμε-
νοι πειράζησθε συνεχῶς ὑπὸ τοῦ
πονηροῦ εἰς ἀλλοτρίας ἐμφλεγό-
μενοι. φέρε γὰρ, αὐτὰ τὰ κείμενα
διαθρήσωμεν ἐπιμελέστερον· ὅτι
οὐκ ἀπολελυμένως ὁ Απόστολος ἐ- D
πένευσε ταῦτα τοῖς πολλοῖς, ἀλλὰ
προθεὶς τὴν αἰτίαν πρότερον, δι'
ἣν εἰς τοῦτο παρήχθη. ἀποφηνάμε-
νος γοῦν, καλὸν εἶναι ἀνθρώπῳ γυ-
ναικὸς μὴ ἅπτεσθαι, εὐθέως παρή-
γαγε· διὰ δὲ τὰς πορνείας ἕκαστος
τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω· τουτέστι,
διὰ τὴν ἀνάγκην τῆς πορνείας, εἰ μὴ

præſtantiam continentiæ. ali-
quando quidem : *De quibus ve-* 1. Cor. 7.
ro ſcripſiſtis, dicens, *bonum eſt*
homini mulierem non tangere.
Inde oſtendens iam clarè, ho-
neſtum eſſe non accedere ad
mulierem : cùm hoc in capite
conſtituat & abſolutè propo-
nat. Deinde infirmitatis huma-
næ conſcius, & æſtum vehe-
mentem reputans, quo intem-
perantiores in coïtum rapiun-
tur, permittit non valentibus
imperare carni, vti vxoribus
ſuis potiùs, quàm turpi lapſu
in fornicationes effundi. De-
nique poſt illa ſic permiſſa, ſta-
tim hoc addit : *Ne tentet vos Sa-*
tanas propter incontinentiam ve- Ibid. v. 6.
ſtram. quod eſt : Si non pote-
ſtis, heus vos, omnino in ca-
ſtitate viuere propter inolitam
corporibus vim libidinis, ſua-
deo potiùs, & me remitto ad
hoc, vt coniugibus potiùs ve-
ſtris conſueſcatis, ne dum pro-
fiteri videmini continentiam,
tentemini aſſiduè à malo dæ-
mone ad alienarum concupi-
ſcentiam mulierum inflamma-
ti. Age enim, contextum ipſum
diligentiùs inſpiciamus, obſer-
uemúſque non abſolutè annuiſ-
ſe iſta paſſim omnibus Apoſto-
lum : ſed propoſitâ priùs cau-
ſâ, quâ ad id adactus eſt. Cùm
dixiſſet ergo, *bonum eſſe homi-*
ni mulierem non tangere, ſtatim
ſubiunxit : *propter fornicationem* 1. ad Cor.
verò vnuſquiſque ſuam vxo- 7. 2.
rem habeat. Hoc eſt, propter
neceſſitatem fornicationis, niſi

ſuſtinetis cohibere voluptatem. Verſ. 5. *Et vnaquæque mulier proprium virum habeat. Vxori vir debitum reddat, ſimiliter, & vxor viro. Mulier ſui corporis poteſtatem non habet, ſed vir; ſimiliter & vir ſui corporis poteſtatem non habet, ſed mulier. Nolite fraudare inuicem, niſi fortè ex conſenſu ad tempus, vt vacetis orationi, & iterum reuertimini in idipſum, ne tentet vos Satanas propter incontinentiam veſtram. Hoc autem dico ſecundùm indulgentiam, non ſecundùm imperium.* Circumſpectè valde appoſitum & hoc. ſecundùm indulgentiam enim ſignificauit conſilium ſe nunc dediſſe, non autem ſecundùm imperium. nam imperium quidem ibi potiùs vſurpat, vbi continentiam ſuadet, & tangi mulierem vetat: indulgentiam verò iis impendit, qui nequeunt, vti dixi, coërcere concupiſcentiam. Ac de iis quidem, tam viris, quàm mulieribus, qui ſingulari coniugio vel iam deuincti ſunt, vel deinde coniungentur, iſta conſtituit. De iis verò viris, qui amiſerunt iam vxores, aut mulieribus, quæ amiſerunt viros; deinceps diligenter inueſtiganda eſt Apoſtoli ſententia, quid
Verſ. 8. de iis definiat. *Dico autem* (inquit) *non nuptis, & viduis, bonum eſt illis, ſi ſic permaneant, ſicut & ego. Quòd ſi non ſe continent, nubant. melius eſt enim nubere, quàm vri.* Perſeuerat hic quoque præferre

A φέρετε κολάζειν τὴν ἡδονήν· καὶ ἑκάστη γυνὴ τὸν ἴδιον ἄνδρα ἐχέτω· τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλὴν ἀποδιδότω, ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί. ἡ γυνὴ, τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· ὁμοίως δὲ καὶ ὁ ἀνὴρ, τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή· μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώ-
B νου πρὸς καιρὸν, ἵνα σχολάζητε τῇ προσευχῇ, καὶ πάλιν ἐπὶ τῷ αὐτῷ συνέρχησθε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ Σατανᾶς διὰ τὴν ἀκρασίαν. τοῦτο δὲ λέγω κατὰ συγγνώμην, οὐ κατ' ἐπιταγήν· τεθεωρημένως δὲ σφόδρα καὶ τοῦτο. κατὰ συγγνώμην γὰρ ἐπεσημήνατο συμβεβουλευκέναι νῦν, οὐ κατ' ἐπιταγήν· ἐπειδὴ τὴν μὲν
C ἐπιταγὴν ἐπὶ τῆς σωφροσύνης, καὶ τοῦ μὴ ἅπτεσθαι γυναικὸς λαμβάνει· τὴν δὲ συγγνώμην ἐπὶ τῶν μὴ δυναμένων, ὡς ἔφην, κολάζειν τὴν ἐπιθυμίαν. περὶ μὲν οὖν μονογάμων τε καὶ μονογαμίδων, ὧν ἡ συζυγία ἕως ἔτι καὶ αὖθις, ταῦτα νομοθετεῖ. περὶ δὲ τῶν ἀποβαλλομένων ἤδη γαμετὰς ἀνδρῶν, ἢ γυ-
D ναικῶν τοὺς συζύγους, πάλιν αὐτὴν ἀκριβῶς ἐξιχνευτέον τὴν ἀποστόλου φωνὴν, ὅτι ποτε χρησμῳδεῖ· λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐτοῖς, ἐὰν οὕτω μείνωσιν, ὡς καὶ ἐγώ· εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν· κρεῖσσον γάρ ἐστι γαμῆσαι, ἢ πυροῦσθαι. ἐπέμεινε καὶ ἐνθάδε προκρίνων

τὴν ἐγκράτειαν. ἑαυτὸν γὰρ παρά- A
δειγμα μέγιστον λαβὼν, εἰς τὸ ζη-
λῶσαι τοὺς ἀκροατὰς προσεκα-
λέσατο ταύτην τὴν ἔνστασιν, κρεῖττον
εἶναι διδάξας τὸν ἐπὶ μιᾷ γαμε-
τῇ συνεζευγμένον ἐφ' ἑαυτῷ μέ-
νειν, ὥσπερ δὴ καὶ αὐτός. εἰ δ' αὖ
τοῦτο διὰ τὴν ἐκπύρωσιν, καὶ τὴν
ἀκμὴν τοῦ σώματος, δυσκατόρθω-
τον εἴη τινὶ, εἰς δεύτερον κατὰ συγ- B
γνώμην παρελθεῖν τὸν οὕτως ἔ-
χοντα συγκατατίθεται γάμον· οὐκ
αὐτὸ τοῦτο διγαμίαν ἀποφηνάμε-
νος εἶναι καλὸν, ἀλλ' ἄμεινον
κρίνας τῆς ἐκπυρώσεως· ὥσπερ γὰρ
εἴ τις ἐν ἡμέρᾳ τοῦ πάσχα καὶ τῆς
νηστείας ἐπισφαλῶς νοσηλευομέ-
νῳ προσέφερε τροφὴν, καὶ ἐκέ-
λευε διὰ τὴν ἀσθένειαν ἀπογεύ- C
σασθαι τούτων τῶν προσφερο-
μένων, λέγων· ὡς ἄρα τὸ μὲν
ἀληθῶς, ὦ οὗτος, καλὸν, ἐχρῆν
ὥσπερ δὴ καὶ ἡμᾶς, καί σε καρ-
τερῶς διαμείναντα, τῶν αὐτῶν με-
ταλαβεῖν· ἀπηγόρευται γὰρ σήμε-
ρον διαίτης ἐπιμνησθῆναι τὸ σύν-
ολον· ἀλλ' ἐπειδὴ νόσῳ προσκατα-
χθεὶς ἐξησθένησας, καὶ οὐ δύνῃ D
φέρειν, ταύτῃ δὴ συγγνώμην νέ-
μοντες συμβουλευόμεθα σιτίων ἐ-
πορέξασθαί σε, ἵνα μὴ παντάπασι
διὰ τὴν νόσον οὐ δυνηθεὶς ἀντι-
σχεῖν πρὸς τὴν ἐπιθυμίαν τῆς
τροφῆς, διαφθαρῇς. οὕτω δὲ καὶ ὁ
ἀπόστολος ἐνθάδε, πρότερον εἰπὼν,
ὅτι βούλοιτο πάντας ὑγιεῖς εἶναι καὶ

A continentiam. ſeipſum enim
in exemplum offerens, ma-
gnum vtique ſtimulum admo-
uet auditoribus, ad imitatio-
nem ſui tentandam, in re quan-
tumuis ardua; melius eſſe do-
cens, eum qui aliàs vnius mu-
lieris coniux fuerit, apud ſe
deinceps manere, ſicuti & ipſe
faciebat. Quòd ſi hoc propter
B æſtum & vim concupiſcentiæ
difficile nimiùm alicui fuerit,
in ea, quam ſecundo loco ei
proponit indulgentiâ, rece-
ptum ei prouidet, vſum con-
iugij permittens: non quòd
ſecundas nuptias abſolutè bo-
nas & expetendas pronunciet,
ſed eas meliores, incendio iu-
dicat. Sicut enim ſi quis in die
Paſchæ & ieiunij grauiter æ-
C grotanti cuipiam cibum offe-
rat, & iubeat propter infirmi-
tatem guſtare ex his quæ of-
fert, dicens: bonum quidem
erat, ô amice, & verè oporte-
bat te quoque, ſicut & nos,
& ſicut tu ipſe cùm valebas,
facere quod omnes hodie fa-
ciunt: interdictum eſt enim ho-
die, vt ſcis, vllo cibo veſci; ſed
quoniam morbo correptus, &
D multùm debilitatus non potes
id ferre, propterea indulgen-
tiam impertientes tibi, conſu-
limus, vt his cibis veſcaris, ne
fortè planè non valens propter
imbecillitatem morbo contra-
ctam reſiſtere cupiditati cibi,
moriaris. Sic ait & Apoſtolus
hoc loco: priùs enim dixerat cu-
pere ſe, ſanos omnes & caſtos

eſſe, vti & ipſe erat; poſtea A tamen grauatis morbo paſſionum, ne fornicantes omninò pereant, violenter abrepti libidinis impetu, & titillationibus carnis in congreſſus inceſtos, & adulteros, permittit ſecundas nuptias, melius ad eas venire, iudicans eſſe, quam vri, & inhoneſtè ſe gerere. De continentia, & nuptiis, B de caſtitate, & communicatione virorum, & in vtris eorum vtilitas ad iuſtitiæ profectum reperiatur, hactenus à me dictum ſit: de Virginitate verò reſtat vt deinceps exponamus, quid Paulus idem ſanxerit: hoc igitur agamus.
1.Corinth. 7. 25. ſic autem ille habet. *De Virginibus præceptum Domini non habeo: conſilium autem do, tan-* C *quam miſericordiam conſecutus à Domino, vt ſim fidelis. Exiſtimo ergo hoc bonum eſſe propter inſtantem neceßitatem, quoniam bonum eſt homini ſic eſſe. Alligatus es vxori? noli quærere ſolutionem: ſolutus es ab vxore? noli quærere vxorem. ſi autem acceperis vxorem non peccaſti: & ſi nupſerit Virgo, non peccauit: tribulationem tamen* D *carnis habebunt huiuſmodi. ego autem vobis parco.* Valde cautè introducto de virginitate ſermone & conſulturus mox dare nuptui ſuam Virginem cui placuerit, ne quicquam eorum, quæ ad ſanctificationem ducunt, per neceſſitatem, fiat & vim, ſed ex propoſito,

A σώφρονας, ὥσπερ δὴ καὶ αὐτός, τὸ μετὰ ταῦτα τοῖς βεβαρημένοις νόσῳ τῶν παθῶν, ἵνα μὴ πορνεύσαντες πάντῃ λυμανθῶσιν, οἱ ἐξηλατούμενοι τῶν παιδογόνων μελῶν τοῖς γαργαλισμοῖς εἰς ἐπιμιξίας ὀθνείων σπερμάτων, ἐπέτρεψε τὴν διγαμίαν· μᾶλλον κρεῖσσον αὐτὴν εἶναι κρίνας τοῦ πυροῦσθαι καὶ ἀσχημονεῖν. B Καὶ περὶ μὲν ἐγκρατείας, καὶ γάμων, καὶ σωφροσύνης, καὶ κοινωνίας ἀνδρῶν, καὶ ἐν τίνι τούτων τὸ ὠφέλιμόν ἐστιν εἰς δικαιοσύνης κατασκευήν, σχεδὸν ἤδη μοι τέλος ἔχει. περὶ δὲ παρθενίας εἰρῆσθαι λείπεται λοιπόν, εἴ τι καὶ περὶ ταύτης ἄρα διαθεσμοθετεῖται. οὐκοῦν καὶ τούτων πέρι διαληπτέον. ἔχει γὰρ ὧδε· περὶ δὲ τῶν C παρθένων, ἐπιταγὴν κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι, ὡς ἠλεημένος ὑπὸ κυρίου πιστὸς εἶναι. νομίζω οὖν τοῦτο καλὸν ὑπάρχειν, διὰ τὴν ἐνεστῶσαν ἀνάγκην· ὅτι καλὸν ἀνθρώπῳ οὕτως εἶναι. δέδεσαι γυναικί; μὴ ζήτει λύσιν· λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα. ἐὰν δὲ καὶ λάβῃς, οὐχ ἥμαρτες· καὶ ἐὰν γήμῃ ἡ D παρθένος, οὐχ ἥμαρτε· θλίψιν δὲ ἕξουσι τῇ σαρκὶ οἱ τοιοῦτοι· ἐγὼ δὲ ὑμῶν φείδομαι· λίαν εὐλαβῶς τὸν περὶ παρθενίας εἰσηγησάμενος λόγον, καὶ μέλλων συμβουλεύειν γαμίζειν τὴν ἑαυτοῦ παρθένον, ὅτῳ φίλον, ὅπως μηδὲν τῶν εἰς ἁγιασμὸν φερομένων κατ᾽ ἀνάγκην γίνοιτο καὶ βίαν, ἀλλὰ κατὰ προαίρεσιν

A αὐτεξούσιον ψυχῆς· τοῦτο γὰρ προσφορὸν θεῷ· οὐ βούλεται δὲ ἐξ αὐθεντίας αὐτοῦ ταῦτα, καὶ γνώμης λελέχθαι τοῦ κυρίου, τουτέστι τὸ γαμίζεσθαι τὴν παρθένον. ἀμέλει φήσας· ἐὰν δὲ καὶ γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε· σχεδὸν πάλιν ὑπευλαβηθεὶς, αὐτίκα ἐτάραξε τὴν συγκατάθεσιν, κατὰ συγγνώμην ἀνθρωπίνην ὑπεμφαίνων ταῦτα συμβεβουλευκέναι, ἀλλ' B οὐ κατὰ θείαν. εὐθέως γοῦν μετὰ τὸ εἰπεῖν· καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε· ἐπήγαγε τὸ, θλῖψιν δὲ ἕξουσι τῇ σαρκὶ οἱ τοιοῦτοι· ἐγὼ δὲ ὑμῶν φείδομαι· ὅ δή ἐστιν· ἐγὼ φειδόμενος ὑμῶν, ὦ οὗτοι, ταῦτα συνεθέμην, ἐπειδήπερ ταῦτα οὕτω φρονεῖν εἵλεσθε· ὅπως [δὲ] μὴ δόξω κατὰ βίαν ἐπι- C σπέρχειν ὑμᾶς εἰς τοῦτο καὶ καταναγκάζειν τινάς. ὅμως δὲ, εἰ καὶ ταύτην φίλον ὑμῖν μᾶλλόν ἐστιν ἕπεσθαι, ἀποδυσπετήσαντας ἁγνείας βαστάσαι· καὶ οὕτω λυσιτελεῖν ἡγοῦμαι κρατεῖν ὑμᾶς τῶν τῆς σαρκὸς ἐρεθισμῶν, μὴ παρακεχωρημένοις, διὰ τὸ γεγαμηκέναι, τοῖς ἑαυτῶν σκεύεσιν εἰς ἀκαθαρ- D σίαν ἐπιφέρεσθαι· γοῦν τοῦτο δέ φημι, ἀδελφοὶ, ὁ καιρὸς συνεσταλμένος λοιπόν ἐστιν· ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες ὦσιν. εἶτα αὖθις ἐπιμένων, καὶ προσκαλούμενος ἐπὶ τοῖς αὐτοῖς, ἐπεξειργάσατο τὸν λόγον, ἰσχυρῶς κρατύνων τὴν συν-

A liberóque arbitrio animæ; hoc enim acceptum apud Deum: non vult ex auctoritate ipſius, & ſententia Domini hæc dicta eſſe, videlicet vt nuptui virgo tradatur: nimirùm, cùm dixiſſet, *ſi autem nupſerit Virgo, non peccauit:* deinde indulgentiâ propè reuocatâ, remiſſionem illam ſuam conturbauit, & penè B dubiam reddidit, ſecundùm indulgentiam humanam ſubindicãs ea ſe conſuluiſſe, non autem ſecundùm diuinam: ideo ſtatim poſtquam dixit *ſi nupſerit Virgo,* *Verſ. 28.* *non peccauit:* addidit, *tribulationem tamen carnis habebunt huiuſmodi: ego autem vobis parco.* id eſt, ego parcens vobis, ô amici, hæc propoſui, quandoquidem eum vitæ ſtatum elegiſtis; ne vi- C dear per vim vrgere ad hoc veſtrũ aliquos, & cogere. Quamuis tamen iſtam vobis coniugij ſortem ſequi libet, ſubire non ſuſtinentibus continentiæ iugum: conducibile iudico, vel ſic moderari vos titillationibus carnis, eas intra ſaltem conceſſum vſum coniugij compeſcendo, non abutentes, nuptialis licentiæ prætextu, veſtris ipſo- D rum vaſibus in immunditiam. ſubinfert igitur: *Hoc itaque di-* *Verſ. 29.* *co, fratres; tempus breue eſt: reliquum eſt, vt & qui habent vxores, tamquam non habentes ſint.* Deinde rurſus inſiſtens, & vehementiùs incitans ad eadem, quæ priùs indicauit, orationem magno niſu corroborat ad tanto vrgentiùs inducendam per-

ſuaſionem Virginitatis. Diſertè igitur atque expreſsè, quæ ſequuntur priùs dictis adaptans, quaſi concludendo exclamat :
Verſ. 32. *Volo vos ſine ſolicitudine eſſe. qui ſine vxore eſt, ſolicitus eſt quæ domini ſunt, quomodo placeat Deo. qui autem cum vxore eſt, ſolicitus eſt quæ ſunt mundi, quomodo placeat vxori. Innupta cogitat quæ Domini ſunt, vt ſit ſancta corpore & ſpiritu. quæ autem nupta eſt, cogitat quæ ſunt mundi, quomodo placeat viro.* Omnibus autem ſine vlla dubitatione manifeſtum eſt, cogitare quæ Domini ſunt, & placere Deo, multò eſſe melius, quàm cogitare quæ ſunt mũdi, & placere vxori. Quis enim tam hebes & cæcus ſit, vt ſtatim non ſentiat, adhortationẽ Pauli vehementer ad continentiæ ſuaſionem incumbere. *Porrò hoc,*
Verſ. 35. ait, *ad vtilitatem veſtram dico, non vt laqueum vobis iniiciam, ſed ad id quod honeſtum eſt.* Adiunge modò dictis, tradi à Paulo, aut ſatis innui, Dei gratuitum donum eſſe, propoſitum, & profeſſionem Virginitatis. ideo enim eos, qui obnoxij paſſionibus carnis, per cauſam vanæ gloriæ, ad eam ſe conferunt, aut in ea hærere volunt, reiicit, conſulens ipſis nuptias, ne vigore iuuentutis, rebelliones membrorum & æſtus carnis patientes, turpe aliquid perpetrent, tentationibus animam vincentibus. Verba Pauli conſideremus.
Verſ. 36. *Si quis*

A σιν τῆς παρθενίας· ῥητῶς γοῦν τὰ ἑξῆς ἐπισυνάψας τοῖς προειρημένοις, ἐπεφώνησε· θέλω ὑμᾶς ἀμερίμνους εἶναι· ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, πῶς ἀρέσει τῷ κυρίῳ· ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῇ γυναικί. μεμέρισται καὶ ἡ γυνή, καὶ ἡ παρθένος. ἡ ἄγαμος
B μεριμνᾷ τὰ τοῦ κυρίου, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι· ἡ δὲ γαμήσασα μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῷ ἀνδρί. πᾶσι γὰρ ἀναμφισβητήτως ἐστὶ καταφανές, ὡς ἄρα μεριμνᾶν τὰ τοῦ κυρίου, καὶ ἀρέσκειν τῷ θεῷ, πολλῷ ἄμεινον τοῦ μεριμνᾶν τὰ τοῦ κόσμου, καὶ ἀρέσκειν τῇ γυναικί. τίς γὰρ οὕτως
C ἠλίθιος, καὶ πηρὸς τὰς ὄψεις, ὃς οὐκ αὐτόθεν αἰσθάνεται τὴν παραίνεσιν τοῦ Παύλου τὸ πλεῖον ῥέπουσαν εἰς ἁγνείαν· τοῦτο γάρ, φησι, πρὸς τὸ ὑμῶν αὐτῶν συμφέρον λέγω, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ εὔσχημον. ἐπίστησον δὲ πρὸς τοῖς εἰρημένοις, ὅπως καὶ θεοδώρητον εἶναι τὸ τῆς παρθενίας ἐπιτή-
D δευμα παρεγγυᾷ. ὅθεν τοὺς κατὰ πρόφασιν κενοδοξίας τὸ ἀκρατόεργον ἐπὶ τοῦτο προεληλυθότας ἀποβάλλεται, συμβουλεύων γαμεῖν, ἵνα μὴ καιρῷ τῆς ἀκμῆς, σφυγμοὺς καὶ φλεγμονὰς παρεχούσης αὐτοῖς τῆς σαρκός, ἀσχημονῶσιν οἰστρηλατούμενοι τὴν ψυχήν. τί γὰρ παραδίδωσιν, ἐπισκεπτέον. εἰ δέ τις

ἀσχημονεῖν

A ἀσχημονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει, φησίν, ἐὰν ᾖ ὑπέρακμος, καὶ οὕτως ὀφείλει γίνεσθαι, ὃ θέλει ποιείτω, οὐχ ἁμαρτάνει· γαμείτωσαν. οἰκείως ἐνταῦθα προκρίνων τὸν γάμον τῆς ἀσχημοσύνης, ἐπὶ τῶν ἑλομένων μὲν παρθενεύειν, δυσαναχετούντων δὲ τὸ μετὰ ταῦτα, καὶ ἀποκαμόντων· καὶ λόγῳ μὲν, δι' αἰδῶ τὴν πρὸς ἀνθρώπους, αὐχούντων ἐπιμένειν· B ἔργῳ δὲ οὐδὲ μακρότερον ἐνδιατεῖψαι δυναμένων. τὸν μέντοι αὐτοκρατορικῷ καὶ αὐθαιρέτῳ κρίνοντα προθέσει τηρεῖν τὴν ἑαυτοῦ σάρκα παρθένον, καὶ μὴ ἔχοντα ἀνάγκην, ὅπερ ἐστὶ πάθος ἐκκαλούμενον τὴν ὀσφὺν εἰς συνουσίαν· εἰσὶ γὰρ δὴ καὶ διαφορὰς ὡς εἰκὸς, σωμάτων· τούτῳ διαμιλλωμένῳ καὶ C διαθλοῦντι, καὶ σπουδαίως ἐπιμένοντι τῇ ἐπαγγελίᾳ, καὶ ταύτην ἄριστα διαπεραινομένῳ, παρακελεύεται μένειν καὶ τηρεῖν, τῇ παρθενίᾳ τὰ πρωτεῖα νέμων· ὁ γὰρ δυνάμενος, φησί, καὶ φιλοτιμούμενος τηρεῖν τὴν ἑαυτοῦ σάρκα παρθένον, κρεῖττον ποιεῖ· ὁ δὲ μὴ δυνάμενος, γαμίζων δὲ νομικῶς, καὶ μὴ λαθροφθορῶν, D καλῶς. καὶ περὶ μὲν τούτων, αὐτάρκως· λαβέτω δὲ μετὰ χεῖρας ὁ βουλόμενος τὴν πρὸς Κορινθίους ἐπιστολὴν, καὶ καθ' ἕκαστον ὁμιλήσας τοῖς ἐγγεγραμμένοις,

autem turpem, inquit, *ſe videri exiſtimat ſuper virgine ſua, quòd ſit ſuperadulta, & ita oportet fieri: quod vult faciat: non peccat ſi nubat:* tacitè hîc, & conſentaneè præferens nuptias turpitudini, ratione habita eorum, qui elegerunt quidem Virginitatis profeſſionem, ægrè autem deinde in ea ſe continent, ac aliò interdum tentationibus inflexi reſpiciunt, & verbo quidem propter hominum reſpectum iactant ſe perſeuerare, re autem ipsâ ſentiunt diutius ibi ſe ſtare non poſſe. In eo tamen, qui libero, & ſui potente imperio ſibi eam legem dixerit, vt ſuam carnem virginem ſeruet, quique non habeat neceſſitatem, hoc eſt, non patiatur vim tyrannicam indomitæ cupiditatis, lumbos in libidinem prouocantis (eſſe enim indoles varias, & naturas corporum) in eo, inquam, robuſtè certante, ac ſubigente corpus ſuũ, ſicque laudabiliter in propoſito perſeuerante, perducentéque bene cœpta ad optatum finem, vtique palmam præſtantiæ Virginitati Paulus tribuit, dum eum, vt ſic agat, adhortatur. Qui enim poteſt, ait, & cui robur mentis in hoc ſufficit, vt honeſtiſſima contentione carnẽ ſuam Virginem cuſtodiat, melius facit; qui autem non poteſt, legitimè autẽ coniugiũ ſuſcipit, neque ſe furtiuis inquinat voluptatibus, bene facit etiã ipſe. Verùm de his hactenus ſatis. Sumat autem qui volet in manus illam ad Corinthios epiſtolam, & ſingulis eius loci partibus accuratè inſpectis,

hæc quæ diximus etiam conſideret, cúmque illis comparet, inuenturus per omnia congruere. Hæc tibi pro viribus de caſtitate, ô Areta, ego de meo confero.

EVBVLIVM. Quàm multis, ô Gregorium, vix tandem ad propoſitum peruenit ſcopum, longiſſimum emenſa, & tranſgreſſa pelagus verborum!

GREGORIVM. Ita eſt, vt dicis. ſed age, reliqua expediamus fideliſſimè reddentes, quæ ab vnaquaque dicta ſunt, dum recens eorum memoria viget, & quaſi perſonare adhuc iis aures meas ſentio, priùs quàm auolent, & diffugiant. Facilè enim recordatio recèns auditarum rerum ex memoria ſenum deletur.

EVBVLIVM. Dic ſanè: talium enim ſermonum auditores cupidi conuenimus.

GREGORIVM. Vbi ergo, vt rectè dicebas, excurſo tranquillo quodam prolixi ſermonis æquore, terram aliquando Thalia tenuit: eam Theopatra excipiens, ſe in hunc modum loquutam eſſe ipſa referebat.

A τότε καὶ τὰ ὑφ' ἡμῶν λεγόμενα
σκεψάσθω ἀντιπαραβάλλων, εἰ
μὴ συμφωνίας πάσης ἔχονται, καὶ
ὁμοφροσύνης τῆς πρὸς αὐτά.
Ταῦτά σοι κατὰ δύναμιν ὑπὲρ ἁγ-
νείας, ὦ Ἀρετή, κἀγὼ συνεισ-
φέρω.

ΕΥΒΟΥΛΙΟΝ. Σφόδρα διὰ
πολλῶν, ὦ Γρηγόριον, μόλις εἰς
B τὸ προκείμενον ἀφίκετο, μακρό-
τατον ἀναμετρησαμένη καὶ περαιω-
θεῖσα πέλαγος λόγων.

ΓΡΗΓΟΡΙΟΝ. Ἔοικεν οὕ-
τως ἔχειν· ἀλλ' ἴθι, καὶ τὰ λοιπὰ
ἐφεξῆς μνημονεύσαντες, μιμητικώ-
τατα διέλθωμεν, ὡς ἔτι ἔναυλον
τὴν ἀκρόασιν ἔχειν μοι δοκῶ,
πρὶν ἀποπτῆναι καὶ διαφυγεῖν· εὐε-
C ξάλειπτοι γὰρ νέων ἀκουσμάτων
μνῆμαι γερόντων.

ΕΥΒΟΥΛΙΟΝ. Ἀλλὰ λέγε.
Τούτων γὰρ καὶ ἐληλύθαμεν ἀσμέ-
νως ἀκουσόμενοι τῶν λόγων.

ΓΡΗΓΟΡΙΟΝ. Ναὶ μὲν δή,
καθάπερ εἶπας, μετὰ τὸ καταχθῆ-
ναι τὴν Θάλειαν δρόμοις ἀκυμάν-
τοις εἰς τὴν γῆν, ἡ Θεοπάτρα
D ἐφεξῆς ὑπολαβοῦσα, ἑαυτὴν
ἔφη εἰπεῖν τάδε.

A

ΘΕΟΠΑΤΡΑ.

ΛΟΓΟΣ Δ'.

Εἰ μὲν ἐπὶ τὴν αὐτὴν, ὦ παρθένοι, διεξόδων ἡ σοφία τῆς λογικῆς ἵστατο τέχνης, καὶ τὴν αὐτὴν ἀεὶ διεπορεύετο τρίβον· οὐδεμία ἂν ὑπῆρχε μηχανὴ τοῦ μὴ ἀποκναίειν, ἐπιχειροῦσαι τοῖς ἤδη προηγωνισμένοις. B Εἰ δὲ μυρίαι μὲν λόγων ὁρμαὶ καὶ διέξοδοι, πολυμερῶς καὶ πολυτρόπως ἐπεισπνέοντος ἡμᾶς τοῦ Θεοῦ· τίς ἡ ἀποκλήρωσις, ἐγκαλύπτεσθαι καὶ δειλιᾶν; οὐκ ἀνυπαίτιος γὰρ, ὅτῳ μέτεστι χάριτος, ἐὰν τὰ καλὰ μὴ κοσμοίη λόγοις εὐχαριστηρίοις. Διὸ φέρε καὶ ἡμεῖς ὑφυμνήσωμεν τὴν χα- C ρισμάτων τὸ καλλιφεγγὲς ἄστρον καὶ τιμαλφέστατον τοῦ Χριστοῦ, τὴν ἁγνείαν· εὐρυτάτη γὰρ ἡ τοῦ πνεύματος αὕτη καὶ ἄφθονος ὁδός· πόθεν οὖν ἀπαρξάμεναι δὴ, πρέποντα δόξομεν καὶ εἰκότα λέγειν τοῖς προειρημένοις, ἐντεῦθεν ἐπισκεπτέον. Ἐγὼ γὰρ ἀκριβῶς αἰσθέσθαι μοι δοκῶ, ὅτι τῆς εἰς τὸν παράδεισον ἀποκαταστάσεως, καὶ τῆς D εἰς τὴν ἀφθαρσίαν μεταβολῆς, καὶ τῆς πρὸς Θεὸν καταλλαγῆς οὐδὲν οὕτως αἴτιον ἄλλο γέγονε, καὶ σωτήριον ἀνθρώποις, τὸ στρατηγῆ-

THEOPATRA.

ORATIO IV.

Si ſemper iiſdem, ô Virgines, veſtigiis attis dicendi ſapientia inſiſtere deberet; & vnâ eâdémque perpetuò graderetur viâ: fieri non poſſet, quin moleſta eſſet orario mea, dum aggredior de iis diſſerere, quæ iam ab iis, quæ antè dixerunt, ſunt occupata. Quoniam verò innumerabiles, & mirabilitet varij, multifariéque diſſimiles orationis flexus, quam multiplex Dei nos afflantis ſpiritus huc ducens illúcq; circumagit: quæ infirmitas vocationi diffidétis ſuæ animi fuerit, occultare ſe ac degeneri latere metu? Non enim extra culpam eſt, qui conceſſæ ſibi Dei gratiâ facultatis conſcius, non eâ vtitur ad ornandas res honeſtas ſermonibus, meritam Deo bonorum omnium autori laudē referentibus. Quare nos quoque, pro modulo facultatis, celebremus puriſſimè lucētem, & micantiſſimè ſplendidam Chriſti ſtellam, caſtitatem. Latiſſima enim Spiritûs ipſa eſt, & ſine inuidiâ patens ſemita. Vnde igitur initio ducto apta poſſimus & conſentanea argumento quod dudum tractatur intexere, hinc prouidendum eſt. Ego ſane planè comperiſſe mihi videor, nihil eſſe magis efficax reſtituendis in paradiſum hominibus, & mortalirati in incorruptibilitatem reparandæ, reconciliandíſq; cum Deo nobis, quàm ſalutarem, & viæ ad vitam

ducem hominibus caſtitatem. Cur ita ſentiam exponere conabor, vt clarè vi gratiæ, de qua agimus, auditu comperta, quantorum illa nobis ferax bonorum ſit, intelligatis. Ab initio poſtquam expulſus è paradiſo meritò ſuæ tranſgreſſionis homo eſt, flumen quoddam corruptionis latiſſimè fuſum inundauit, & vehementi ruens impetu pernicioſis vorticibus, non ſolum exteriùs circumueniebat quidquid occurreret, ſed penitus in intima quoque penetrans, animas etiam ipſas ſuffocabat. Hæ verò tentationibus pulſatæ aſſiduis, ſurdæ, ac vitiis abreptæ ferebantur, ab omni propriarum regendarum nauium abalienatæ cura, quòd nihil fixum, certúmque cernerent, cui adhærentes inniterentur. Senſus quippe animæ, vt talium rerum periti docent, poſtquam exteriùs ingruentibus perturbationibus victi, exceperint furentis cupiditatis, velut fluctus cuiuſdam redundantis, impetum: ſtatim à recto curſu deflectuntur, tenebríſque offuſi, quicquid in natura eſt ad bonum vergens, obruunt, impediúntque, ne in rectum eat. Quare Deus nos ita malè habentes miſeratus, & neque reſiſtere, neque ſuſtinere nos à lapſu exitiali valentes, demiſit è cœlis optimum, & glorioſiſſimum auxilium, caſtitatem: vt ex ipſa religatis noſtris corporibus, inſtar nauium tranquillita-

A σαν ἡμᾶς εἰς ζωὴν, ὡς ἁγνεία. πειράσομαι γὰρ, ἣ διανοοῦμαι, περὶ τούτων ἐνδείξασθαι νῦν· ἵνα σαφῶς τὴν δύναμιν τοῦ προειρημένου χαρίσματος ἀκούσασαι, πόσων ἡμῖν παρεκτικὸν ἀγαθῶν ἐγενήθη, γνῶτε. τὸ γοῦν ἀρχαῖον μετὰ τὸ μετοικισθῆναι τὸν ἄνθρωπον ἐκβληθέντα διὰ τὴν παρά-
B βασιν, τὸ ῥεῦμα τῆς φθορᾶς ἐπὶ πολὺ προσεχύθη, καὶ φερόμενον σφοδρῶς συρμοῖς ἐξαισίοις, οὐ μόνον ἔξωθεν ἀπάκτως περιέφερε τὸ προστυχὸν, ἀλλ᾽ ἤδη καὶ ἐπιχεόμενον εἴσω, κατέκλυζε τὰς ψυχάς. αἱ δὲ, συνεχῶς τοῦτο πάσχουσαι, κωφαὶ καὶ δυσπαθεῖς ἐφέροντο, κυβερνᾶν ἀπαλλαγεῖσαι
C τὰ σφέτερα σκάφη, παρὰ τὸ μὴ ἔχειν ἐφάψασθαι βεβαίου τινός· αἱ γὰρ αἰσθήσεις τῆς ψυχῆς, ὡς οἱ τούτων ἔφασαν ἐπιστήμονες, ἐπειδὰν τῶν ἔξωθεν προσπιπτόντων παθῶν ἡττηθεῖσαι, προσδέξωνται τὰς ἐπιφορὰς τοῦ τῆς ἀνοίας ἐπικλύσαντος εἴσω κύματος, εὐθέως τῆς εὐθείας ὁρμῆς ἐμποδίζονται σκο-
D τωθεῖσαι, τὸ πᾶν αὐτῆς εὐθύνον πορεύεσθαι κατὰ φύσιν κῦτος. ὅθεν ὁ θεὸς οἰκτειρήσας ἡμᾶς ἔχοντας οὕτως, καὶ οὔτε ἀνασχεῖν, οὔτε ἀνασφῆλαι δυναμένους, κατέπεμψεν ἐξ οὐρανῶν τὸ ἄριστον καὶ εὐκλεέστατον βοήθημα, τὴν ἁγνείαν· ὅπως ἐξ αὐτῆς ἀποδήσαντες ἡμῶν τὰ σώματα, πλοίων δίκην, γαλη-

ναίως ἔχωμεν ὁρμισθέντες ἄνευ φθορᾶς· καθὼς καὶ τὸ πνεῦμα τὸ ἅγιον μαρτυρεῖ. τοῦτο γὰρ ἐν τῷ ἑκατοστῷ τριακοστῷ ἕκτῳ φέρεται ψαλμῷ, ἔνθα ὕμνον εὐχαριστήριον ἀναπέμπουσιν ἱλαρῶς αἱ ψυχαὶ τῷ θεῷ, ὁπόσαι δὴ παραληφθεῖσαι, καὶ κρατηθεῖσαι, περιπολοῦσιν ἤδη μετὰ Χριστοῦ τὸν οὐρανόν, ὅτι μὴ κατεποντίσθησαν ὑπὸ ὑλικῶν καὶ σωματικῶν ῥευμάτων. ἐντεῦθεν γὰρ καὶ τὸν Φαραὼ φασὶ τύπον ἀπενέγκασθαι κατὰ τὸν Αἴγυπτον διαβόλου· ἐπειδὴ τὰ μὲν ἄρρενα ἀφειδῶς εἰς τὸν ποταμὸν ἐκέλευε ῥίπτεσθαι· τὰ δὲ θήλεα ζωογονεῖσθαι. καὶ γὰρ καὶ ὁ διάβολος βασιλεύων, ἀπὸ Ἀδὰμ μέχρι Μοϋσέως τῆς μεγάλης Αἰγύπτου τοῦ κόσμου, τὰ μὲν ἄρρενα καὶ νοητὰ τῆς ψυχῆς ἔκγονα, ὑπὸ τῶν ῥευστῶν παραφέρεσθαι καὶ ἀναιρεῖσθαι παθῶν σπουδὴν ἔχει· τὰ δὲ σαρκικὰ καὶ αἰσθητὰ αὐξάνεσθαί τε καὶ πληθύνεσθαι γλίχεται. ἀλλὰ γὰρ ἵνα μὴ παρεκβαίνωμεν τοῦ προκειμένου, φέρε δὴ τὸν ψαλμὸν ἐξηγησώμεθα ἐν χερσὶν λαβοῦσαι τοῦτον, ὃν αἱ καθαραὶ καὶ ἀλώβητοι ψυχαὶ προσᾴδουσι τῷ θεῷ· ἐπὶ τῶν ποταμῶν, λέγουσαι, Βαβυλῶνος, ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών· ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν· ὄργανα καλοῦσαι σαφῶς τὰ σκηνώματα ἑαυτῶν, ἃ ἀνεκρέμασαν ἀπὸ τῶν πεισμά-

A te potiamur, ſine corruptione in portum ſubducti, ſicuti & Spiritus ſanctus teſtatur. Hoc enim centeſimo trigeſimo ſexto continetur pſalmo, vbi hymnum gratulatorium lætantes Deo concinunt animæ, quæcunque hinc aſſumptæ deambulant cum Chriſto ſupra cęlos, gratias agentes, quòd abreptæ non fuerint vorticibus quibuſ- B dam terrenorum, & corporeorum fluctuum. In quo Pharaonem aiunt, illum Ægypti tyrannum, figuram Diaboli fuiſſe: quando mares quidem ſine miſericordia iubebat in profluentem abiici, fœminas verò ſeruari. Sic enim Diabolus regnans ab Adam, vſque ad Moyſen, ſupra magnam hanc Ægyptum mundi, mares quidem, & C ſpirituales fœtus animæ, à fluxis abripi, ſubmergíque vitiis procurat ſtudioſè: carnalia verò, & ſenſus expertia augeri, & multiplicari percupit. Verum ne quod propoſuimus nobis excidat, age, Pſalmum iſtum in manus ſumptum enarremus, quem purè, & immaculatæ animæ concinunt Deo: *Super* Pſal. 136.
D *flumina*, dicentes, *Babylonis illic ſedimus & fleuimus, dum recordaremur tui Sion, in ſalicibus medio eius ſuſpendimus organa noſtra.* organa vocantes manifeſtè ſua ipſarum corpora, quæ ſuſpenderunt, è retinacu-

lis caſtitatis, alligantes ea ligno, ne poſſent abreptæ rurſus trahi fluctu incontinentiæ. Babylon enim, quæ tumultus, aut confuſio interpretatur, circumfluam hanc deſignat vitam, cuius in medio ſedentes, circum vndique alluimur, quamdiu in mundo ſumus fluminibus nequitiæ in nos ſemper irruentibus. Propterea trepidamus & gemimus, clamantes cum lacrymis ad Deum, ne fluctibus voluptatis auulſa ab arbore caſtitatis cadant in profluentem noſtra organa. Pro ſymbolo enim Virginitatis diuinæ vbique ſcripturæ ſalicem vſurpant: quoniam flos eius in aquam intritum ſi bibatur quidquid titillationes intus ciet ac prurigines, extinguit: eoque vſque valet, vt ſteriles efficiat & ad generandum inutiles omnes in venerem motus. vti & Homerus indicauit, ſalices propterea
Hom. il. frugipetdas vocans. In Eſaïa
Iſ. 44. 4. verò *iuſti quaſi ſalices germinare* dicuntur *iuxta præterfluentes aquas*. Tunc enim altè ſurgit, & amplè ſpecioſéque dilatatur Virginitatis frutex, quando iuſtus, cui eius ſeruandæ excolendæque gratia data eſt, mitiſſimis Chriſti fontibus, & Sapientiæ vegetabili quadam pluuiâ maduerit. Vt enim ſalix non niſi affluenti aquæ copia creſcit virétque: ſic ea indoles

A τῶν τῆς ἁγνείας, ἐξάψασαι τοῦ ξύλου, ἵνα μὴ δυνηθῶσιν ἐξαρπασθεῖσαι πάλιν παρασυρῆναι τῷ ῥεύματι τῆς ἀκρασίας. Βαβυλὼν γὰρ, ταραχὴ ἢ σύγχυσις ἑρμηνευομένη, τὸν περίρρυτον βίον δείκνυσι τοῦτον, οὗ ἐν μέσῳ καθεσθέντες περικλυζόμεθα, καθ' ὃν ἐσμὲν ἐν τῷ κόσμῳ χρόνον, τῶν ποταμῶν τῆς κακίας ἐφορμώντων
B ἀεί. διὸ καὶ περιδεεῖς ἐσμὲν, καὶ κατολοφυρόμεθα, καὶ βοῶμεν μετὰ κλαυθμῶν πρὸς τὸν θεὸν, ἵνα μὴ κατολισθήσωσιν ἡμῶν ἀπορρηχθέντα τοῖς κύμασι τῆς ἡδονῆς ἀπὸ τοῦ φυτοῦ τῆς ἁγνείας τὰ ὄργανα. ἐν τύπῳ γὰρ τῆς παρθενίας πανταχοῦ παραλαμβάνουσι τὴν ἰτέαν αἱ θεῖαι γραφαί·
C ἐπειδήπερ τὸ ἄνθος αὐτῆς εἰς ὕδωρ ἀποτεθὲν, ἐὰν ποθῇ, πᾶν ὅσον εἰς ὀχείας ἀνάζει καὶ ἐρεθισμοὺς, καταβέννυσιν, ἔς τ' ἂν εἰς ἄρδην ἀποστειρώσῃ, καὶ ἄγονον ἀπεργάσηται πᾶσαν τὴν ἐπὶ παιδοποιΐαν φοράν· ὥσπερ δὴ καὶ Ὅμηρος ἐμήνυσε, διὰ τοῦτο καλέσας ὠλεσικάρπους τὰς ἰτέας. Καὶ ἐν Ἡσαΐᾳ
D δὲ οἱ δίκαιοι ὡς ἰτέα λέγονται φύειν ἐπὶ παραρρέον ὕδωρ· εἰς ὕψος γὰρ τότε τὸ τῆς παρθενίας ἔρνος μεγεθύνεται σφοδρῶς τε καὶ λαμπρῶς, ὅταν ὁ δίκαιος καὶ ἐγκεχειρισμένος τηρεῖν αὐτὴν καὶ ἐργάζεσθαι, τοῖς ἠπιωτάτοις τοῦ Χριστοῦ νάμασιν ἀρδεύηται, σοφίᾳ καταψεκάζων. ὃν γὰρ τρόπον τὸ δένδρον τοῦτο χλοηφορεῖν πέφυκεν ὕδατι καὶ βλαστάνειν· οὕτως ἐπανθεῖν

ἀεὶ καὶ ἐπακμάζειν πηγνυμένη λόγοις πέφυκεν ἡ παρθενία· ἵνα δὴ καὶ ἀνακρεμάσαι τὸ ὄργανον ἀπ' αὐτῆς ἑαυτοῦ δύνηταί τις. εἰ οὖν οἱ ποταμοὶ τῆς Βαβυλῶνος τὰ ῥεύματα τῆς ἡδυπαθείας εἰσίν, ὡς οἱ σοφοί φασι, τὰ συγχέοντα καὶ ταράσσοντα τὴν ψυχήν· ἀνάγκη τὰς ἰτέας εἶναι τὴν σωφροσύνην, ἀφ' ἧς ἀνακρεμῶντες ἀνελκόμεθα τὰ ὄργανα τὰ παιδογόνα, ταλαντούμενα κάτω, καὶ βρίθοντα τὸν νοῦν· ἵνα μὴ κατενεχθέντα περὶ τοὺς ὀχετοὺς τῆς ἀκρασίας, σκωλήκων δίκην εἰς τοὺς ἰχῶρας ἐγχελίμπτωνται, καὶ τὰς σηπεδόνας. χρησιμωτάτην γὰρ καὶ ἐπίκουρον εἰς ἀφθαρσίας κτῆσιν τὴν παρθενίαν ὁ θεὸς ἐδωρήσατο, σύμμαχον ἀποστείλας τοῖς ὀρεγνυμένοις καὶ ποθοῦσι· καθὼς ὁ ψαλμὸς ὑφηγεῖται τὴν Σιών, ὃ δή ἐστι, τὴν ἐκλαμπρὸν ἀγάπην, καὶ τὴν περὶ αὐτῆς ἐντολήν· ἐπειδήπερ ἡ Σιὼν ἐντολὴ σκοπιᾶς ἑρμηνεύεται· ὧδε γὰρ ἀναλογισώμεθα πάλιν, καὶ τὰ ἑξῆς· τί δή ποτε ἐπηρωτῆσθαι πρὸς τῶν αἰχμαλωτιστῶν ὁμολογοῦσιν αἱ ψυχαί, τὴν ᾠδὴν ἐπὶ τῆς ἀλλοτρίας ᾆσαι κυρίου; ἢ πάντως ὅτι τὸ εὐαγγέλιον ἱερὰν ᾠδὴν εἶναι καὶ ἀπόρρητον διδάσκουσιν, ἣν οἱ ἁμαρτάνοντες καὶ μοιχώμενοι, τῷ πονηρῷ προσᾴδουσιν. ἐξορχοῦνται γὰρ

A Virginitatis eſt, vt ſacris impinguari ſermonibus ad florendum vigendúmque debeat: nec aliter in eam molem firmitatémque proficiat, ex quâ ſuſpendere organum ſuum quiſque poſſit. Si ergo flumina Babylonis fluxus voluptatis ſunt, vt ſapientes volunt, confundentes & turbantes animam: conſequens eſt, vt caſtitas ſalicibus B deſignetur, ex quâ ſuſpendentes ſurſum trahimus organa libidinis, vergentia deorſum, & degrauantia mentem, ne velut torrentis impetu protuſa in cloacas impudicitiæ, vermium more ad fæces & putres tabos adhæreſcant. Vtiliſſimam nimirum & in primis efficacem ad corruptionis adeptionem dedit C Virginitatem Deus, adiutricem eam mittens & fidam ſociam cupidè adſpirantibus ad id decus: quales ſubindicat Pſalmus nomine Sionis, quæ vox exprimit illuſtrem caritatem & mandatum de ipſa: quandoquidem vocabulum, *Sion, mandatum ſpecula* interpretatur. Sic enim reputemus deinde quæ ſequutur. Quid tan-D dem eſt, cur interrogatas ſe ab iis qui captiuas duxerunt ipſas, animæ fateantur, vt canticum Domini canerent in terra aliena? Nempe hoc dicendo planè docent, Euangelium ſacrum eſſe arcanúmque canticum: quod, qui per libidines & adulteria Chriſtiani peccant, diabolo canunt. Tranſiliunt enim

A mandata, voluntatem ſpirituum nequitiæ implentes, & ſancta proiiciunt canibus, ac margaritas ante porcos, quemadmodum & illi de quibus Propheta indignans ait: *Et legerunt foris legem*. Non enim vtique, quòd extra portas Ieruſalem domóſve ſuas egreſſi, legem Iudæi legerent, propterea tam vehementer increpantur à Propheta, & tamquam flagitij affines accuſantur: ſed quòd tranſgredientes mandata, & offendentes Deum, externa quidem ſpecie, legebant velut pij ac Dei cultores diuina mandata: animis verò nequaquam admittebant, per fidem ea retinentes, ſed reſpuebant, operibus negantes. Hinc enim canticum Domini cantant in terra aliena, legem diſtrahentes quodammodo, & interpretantes humiliùs, expectantes ſcilicet regnum ſenſibile, ſpéſque ſuas in terra hac planè aliena, neque diu duratura, collocantes: vbi qui captiuos eos ducunt, illectant voluptatibus, inſidiantes vt eos decipiant. Videntur autem qui Euangelium inſanis prædicant, modulari canticum Domini in terrâ alienâ, cuius Chriſtus non eſt agricola. Verùm illæ animæ quæ puriſſimum, lætum, impermixtum, pium, ſpecioſum Virginitatis induerunt, & latè fuſis radiis vi-

Amos 4. 5. iuxta lxx.

τὰς ἐντολάς, τὸ θέλημα τῶν πνευμάτων πληροῦντες τῆς πονηρίας, καὶ ῥίπτουσι τὰ ἅγια τοῖς κυσί, καὶ τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων, ὃν τρόπον κἀκεῖνοι περὶ ὧν ὁ προφήτης δυσχεραίνων φησί· καὶ ἀνέγνωσαν ἔξω νόμον. οὐ γὰρ ὅτι τῶν πυλῶν ἔξω τῆς Ἱερουσαλήμ, ἢ τῶν οἰκιῶν, ἀνεγίνωσκον B ἐξιόντες οἱ Ἰουδαῖοι τὸν νόμον, διὰ τοῦτο δὴ καὶ ὁ προφήτης ἰσχυρῶς αὐτῶν κατηγορεῖ καὶ ὑπευθύνοις ἐγκλήματι βοᾷ γεγονέναι· ἀλλ' ὅτι παρερχόμενοι τὰς ἐντολάς, καὶ ἀσεβοῦντες εἰς τὸν θεόν, ἐπιμεμορφασμένως μὲν ἀνεγίνωσκον δῆθεν ὡς εὐσεβεῖς τὰ προστάγματα· κατὰ ψυχὴν δὲ οὐκ ἐδέ- C χοντο μετὰ πίστεως ἔχοντες, ἀλλ' ἀπέπτυον ἔργοις ἀρνούμενοι· ἔνθεν γὰρ τὴν ᾠδὴν ἐπὶ τῆς ἀλλοτρίας ᾄδουσι κυρίου· ταπεινότερον παρέλκοντες καὶ ἐξηγούμενοι τὸν νόμον· βασιλείαν αἰσθητὴν προσδοκῶντες, καὶ ἐπὶ γῆς ταύτης τῆς ἀλλοτρίας, ἣν παρελάσεται λόγος, τιθέμενοι τὰς ἐλπί- D δας· ἔνθα οἱ αἰχμαλωτισταὶ δελεάζουσιν ἡδοναῖς, λοχῶντες πρὸς ἀπάτην. ἐοίκασι δὲ καὶ οἱ προσᾴδοντες τὸ εὐαγγέλιον ἄφροσιν, ἐπὶ γῆς ἀλλοτρίας μελῳδεῖν τὴν ᾠδὴν κυρίου, ἧς μή ἐστιν ὁ Χριστὸς γεωργός· ἀλλ' αἱ τὸ καθαρώτατον, καὶ φαιδρόν, καὶ ἀμιγές, καὶ εὐαγές, καὶ εὐπρεπὲς τῆς παρθενίας ὑποδῦσαι καὶ ἀναλάμψασαι

σαι κάλλος, καὶ στεῖραι, αἱ ἄγονοι τῶν ῥευστῶν καὶ ἀλγεινῶν εὑρεθεῖσαι παθῶν, ἐπὶ γῆς ἀλλοτρίας οὐ μελῳδοῦσι τὴν ᾠδήν· ὅτι μὴ φέρονται τὰς ἐλπίδας τῇδε, μηδὲ προσεστήκασι θνητῶν σωμάτων τρυφαῖς, μηδὲ ταπεινῶς κατασκέπτονται τὸν νοῦν τῶν ἐντολῶν· ἀλλ' εὖ καὶ γενναίως, μετὰ φρονήματος ὑψηλοῦ, τὰς ἐπαγγελίας ἄνω προσλαθέσθαι, τοῦ οὐρανίου διψῶσαι καὶ σύμφυτον τόπον· ὅθεν ἀγάμενος αὐτῶν ὁ θεὸς τὰ φρονήματα, μεθ' ὁρκωμοσίας ἐξαιρέτους ἐπαγγέλλεται δοῦναι τιμάς, ἐν ἀρχῇ τῆς εὐφροσύνης προαναταττων καὶ καθιδρύων· λέγει γὰρ ὧδε· ἐὰν ἐπιλάθωμαί σου Ἱερουσαλήμ, ἐπιλησθείη ἡ δεξιά μου· κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐὰν μή σου μνησθῶ, ἐὰν μὴ προαναταξωμαι τὴν Ἱερουσαλὴμ ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου. Ἱερουσαλὴμ τὰς ἀμιάντους αὐτὰς δὴ ταύτας, ὡς ἔφην, καὶ ἀπήμονας ψυχὰς εἶναι λέγων, αἵτινες ἄτρυγον τὸ τῆς παρθενίας αὐστηρῶς ἀμολύντοις χείλεσι σπασάμεναι πόμα, ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν καθαρμόζονται παραστῆσαι Χριστῷ κατ' οὐρανόν, τὸν τῶν ἀμιάντων ἄθλων ἀγῶνα νικήσασαι. ταύτῃ γὰρ καὶ Ἡσαΐας ὁ προφήτης παρεγγυᾷ· φωτίζου φωτίζου, λέγων, Ἱερουσαλήμ, ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα κυρίου ἐπὶ σὲ ἀνατέταλκε. πάντα δὲ τὰ ἐπαγγέλματα μετὰ τὴν ἐξανάστασιν τελεσιουργηθήσεσθαι δη-

A brant decorem, ſteriles & penitus expertes fluxarum & in dolores fœcundarum repertæ libidinum, in alienâ terrâ Canticum non cantant: quoniam ſpes inde ſuſpenſas non trahunt; neque mortalium corporum intabeſcunt deliciis; neque abiectè mandatorum mentem æſtimant: ſed benè B ac fortiter, generoſo ſublimíque propoſito, ſurſum promiſſiones intuentur, cælum ſitientes, vt ſibi aptum & natalem locum. Vnde magnificaciens nobiles earum cogitationes Deus, cum iuramento promittit eximios ſe ipſis honores repenſurum, in principio lætitiæ præponens eos & conſtituens. Sic enim ait: *Si oblitus* Verſ. 6.
C *fuero tui Ieruſalem, obliuioni detur dextera mea. Adhæreat lingua mea faucibus meis, ſi non meminero tui; & ſi non propoſuero Jeruſalem in principio lætitia mea.* Nomine Ieruſalem immaculatas iſtas, quas dixi, & expertes noxæ deſignans animas: quæ auſtero Virginitatis mero impollutis hauſto labiis, vni D viro Virginem caſtam in cælo deſpondent exhibere Chriſto, incoinquinatorum certaminũ præmio coronatæ. Hinc enim Eſaïas Propheta denunciat. *Il-* Iſ. 60.
luminare, illuminare Jeruſalem, quia venit lumen tuum, & gloria Domini ſuper te orta eſt. Hæc porrò promiſſa poſt reſurrectionem implenda, cuiuis pa-

lam eſt. Neque enim de ciuitate illa primariâ Iudææ toties nominata, Spiritus ſanctus loquitur: ſed de cæleſti vtique illâ & beatâ Ieruſalem, quam vult intelligi eſſe congregationem animarum, quas præpoſuiſſe ſe primas in principio lætitiæ nouorum ſæculorum denunciat Deus, ſplendidè inſuper promittens: introducturum ſe ipſas in puram inacceſſibilis lucis habitationem, ibique collocaturum candidiſſimo Virginitatis exornatas mundo. Niſi alicui earum veniat in mentem ſponſalem ornatum exuere: quod eſt relaxare mentem in imaginationes indecentes. Denique
Ier. 2. 32. *non obliuiſci Virginem ornamenti ſui & ſponſam faſciæ pectoralis ſuæ*, quod apud Ieremiam dicitur, ſignificat non remittere neque reſoluere vinculum caſtitatis, illecebris aut auocationibus ſeductum vllis. Pectoris enim mentione meritò mens & cogitatio noſtra deſignari creditur. Faſcia verò pectoralis, vel zona colligens ac ſtringens propoſitum animæ in caſtitatem, eſt caritas in Deum: quam mihi & vobis Imperator noſter & Paſtor Ieſus, idémque princeps, & ſponſus, ô præclaræ Virgines, concedat, vt numquam interruptam, & velut inuiolabili munitum ſigillo depoſitum ad finem vſque ſeruemus. Hac enim poſſeſſione melius hominibus auxilium non facilè quis aliud vſurpaue-

A λον καὶ παντί. οὐ γὰρ περὶ τῆς πολυθρυλλήτου κατὰ τὴν Ἰουδαίαν πολίχνης τὸ πνεῦμα τὸ ἅγιον χρησμῳδεῖ, ἀλλὰ περὶ τῆς οὐρανοπόλεως ἀληθῶς ἐκείνης, καὶ μακαρίας Ἱερουσαλήμ· ἣν δή φησιν αὐτὴν εἶναι τὸ ἄθροισμα τῶν ψυχῶν, ἃς προδιατάξασθαι πρώτας ἐν ἀρχῇ τῆς εὐφροσύνης τῶν καινῶν αἰώ-
B νων ἐπιφανῶς ὁ θεὸς ἐπαγγέλλεται, εἰς καθαρὰν οἴκησιν ἀδύτων φώτων τῷ λευκοτάτῳ τῆς παρθενίας ἐστολισμένας κόσμῳ κατοικίζων· ὅτι μὴ ἐμνημόνευσαν τὸν κόσμον ἀποδύσασθαι τὸν νυμφικόν, τουτέστι χαυνῶσαι τὸν λογισμὸν φαντασίαις ἐκτόποις· ἀμέλει τὸ μὴ ἐπιλανθάνεσθαι νύμφην τὸν
C κόσμον, μηδὲ παρθένον τὴν στηθοδεσμίδα αὐτῆς, λεγόμενον ἐν Ἱερεμίᾳ, τὸ μὴ ἐνδοῦναι καὶ χαλάσαι τὸν δεσμὸν τῆς σωφροσύνης ἀπάταις δηλοῖ καὶ περισπασμοῖς. στήθη γάρ, αἱ φρένες εἰκότι λόγῳ, καὶ ὁ νοῦς ἡμῶν εἶναι νομίζεται· ἡ δὲ στηθοδεσμὶς, ἡ συνδοῦσα ζώνη καὶ συσφίγγουσα τὴν πρόθεσιν τῆς
D ψυχῆς εἰς ἁγνείαν, ἐστὶν ἡ πρὸς θεὸν ἀγάπη· ἣν ἐμοί τε καὶ ὑμῖν ὁ στρατηγὸς ἡμῶν καὶ ποιμὴν Ἰησοῦς, καὶ ἄρχων, καὶ νυμφίος, ὦ καλλιπάρθενοι, ἄρρηκτόν τε καὶ ἐσφραγισμένον μέχρι τέλους τηρῆσαι παράσχοι· τούτου γὰρ τοῦ κτήματος τοῖς ἀνθρώποις ἄμεινον βοήθημα οὐκ ἄν τις ῥᾳδίως ἕτερον λά-

σοι, ἀρέσκον θεῷ καὶ προσφιλές· διὸ ἐγὼ χρῆναί φημι τὴν ἁγνείαν ἅπαντας ἡμᾶς, καὶ διὰ παντὸς ἀσκεῖν τε καὶ ἐγκωμιάζειν· αὗταί σοι καὶ παρ᾽ ἡμῶν αἱ ἀπαρχαὶ τῶν λόγων ἀρκείσθωσαν, ὦ Ἀρετή· τὰ μὲν παιδείας, τὰ δὲ καὶ σπουδῆς χάριν. ἀλλὰ δέχομαι τὸ δῶρον, ἔφη φάναι τὴν Ἀρετήν, καὶ κελεύω μετὰ σὲ τὴν Θάλλουσαν λέγειν. δεῖ γάρ με παρὰ μιᾶς ἑκάστης ὑμῶν ἀποδέξασθαι τὸν λόγον. τὴν οὖν Θάλλουσαν βραχὺ ἐπισχοῦσαν, καὶ πρὸς ἑαυτὴν τι σκεψαμένην, εἰπεῖν ἔφη.

rit, placens & dilectum Deo. Quamobrem aio ego honorandam omnibus Virginitatem eſſe, omnique loco ac tempore tum exercendam, tum laudandam. Hæc tibi & à nobis primitiæ ſermonum, ô Arete, ſufficiant, vel eruditionis, vel ſtudij gratiâ. Ego verò (aiebat dixiſſe Areten) libens accipio quod offers, & iubeo poſt te Thalluſam dicere. decretum quippe mihi eſt ab vnaquaque veſtrum exprimere ſermonem. Thalluſam igitur paululum moratam quaſi ad colligendum ſe, commentandúmque breuiter aliquid, ſic locutam referebat.

ΘΑΛΛΟΥΣΑ.

ΛΟΓΟΣ Ε'.

ΑΛΛ᾽ ὦ Ἀρετὴ συλλήπτειραν ἀξιῶ παραστῆναί σε καὶ τὰ νῦν, ὅπως πρῶτον μὲν σοῦ, καὶ τῶν παρόντων δέ, φανῶμεν ἄξια λέγειν· τὸ γὰρ μέγιστον καὶ ἐπιφανέστατον ἀνάθημα καὶ δῶρον, οὗ μηδὲν ἀντάξιον ἄλλο προσενέγκασθαι πάρεστιν ἀνθρώποις θεῷ, τὸ ἆθλον τῆς παρθενίας εἶναι πέπεισμαι, διαρκῶς ἀπὸ τῶν σῶν ἠσθημένη γραμμάτων. οὐ γὰρ ἂν πολλῶν πολλὰ κατ᾽ εὐχὰς ἐν τῷ νόμῳ καλὰ κατεργασαμένων, μόνοι μεγάλην εὐχὴν ἐλέγον-

THALLVSA.

ORATIO V.

EGO verò te, Arete, rogo, vt adiutrix adſis nunc quoque: quò ſermonem inſtituere te primùm, deinde etiam & reliquo cœtu non indignum videamur. Tuis videlicet inſtituta libris ac literis planè mihi perſuaſi, id quod hac oratione conabor demonſtrare, maximum & ſpectabiliſſimum quod diuinis appendi tholis donum poſſit; pulcherrimum, inquam, quod ab homine vmquam Deus accipiat munus, eſſe Virginitatis profeſſionem vltrò ſuſceptam eius causâ. Enimvero cum multa in lege memorentur in Dei laudem ab hominibus religionis ſtudio concepta vota; quorum ſuum ibi cuique pretium, ſua laus conſtat: ſoli magno ſe obligaſſe voto dicun-

tur, qui ſe ipſos liberâ volunta-
te ſuſcepto caſtæ vitæ propoſi-
to Deo ſacrauerint. Sic enim
Num. 6. illic legitur. *Et locutus eſt Domi-
nus ad Moyſem dicens, loquere
filiis Iſraël, & dices ad eos: Vir,
ſiue mulier, quicumque magnè
vouerit votum caſtificandi caſti-
tatem Domini.* Vouet aliquis
aurea argenteáque vaſa allatu-
rum ſe in templum, ibíque
conſecraturum: hic fructuum,
ille bonorum decimas à ſe of-
ferendas. Alius pinguiſſima
quæque capita gregum & ar-
mentorum, nonnemo faculta-
tes omnes ſuas Deo conſecrat.
Et nullus adhuc horum id po-
teſt conſequi, vt magnum vo-
uiſſe Domino dicatur votum.
Illi tantùm hoc tribuitur, qui
ſe in ſolidum Deo addicit. Con-
tendendum mihi apud vos, ô
Virgines, ſtatui veris afferen-
dis rationibus, vt certam diui-
ni Spiritus ſententiam in hâc
ſcripturâ videatis. Nimirum qui
aliquâ ex parte ſeſe cuſtodit &
religioni attendit, aliquâ rur-
ſus ex parte auerti ſe ſinit, &
ab officio relaxatur, totus in
ſolidum Deo non ſiſtitur. Qua-
re opus eſt perfectum quemque
ſiſtere Deo quæque ad animam,
quæque ad corpus pertinent,
vt integra, nullóque deficiens
oblatio ſit. Idcircò enim Abraa-
Gen. 15.9. mo Deus præcipit: *Sume mihi
vaccam triennem, & capram
trimam, & arietem annorum
trium: turturem quoque & co-
lumbam.* Quæ ſi ex allegoriâ velimus euoluere hanc tacitè

A τὸ πληροῦν, οἱ σφᾶς αὐτοὺς αὐ-
θαιρέτῳ βουλῇ προσενέγκασθαι
θεῷ ἑλόμενοι· ἔχει γὰρ τὸ ῥητὸν
οὕτως· καὶ ἐλάλησε κύριος πρὸς
Μοϋσῆν λέγων· λάλησον τοῖς υἱοῖς
Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς·
ἀνὴρ, ἢ γυνὴ, ὃς ἐὰν μεγάλως εὔ-
ξηται εὐχὴν ἀφαγνίσασθαι ἁγνείαν
κυρίῳ. εὔχεται χρυσᾶ καὶ ἀρ-
B γυρᾶ εἰς τὸν νεὼν σκεύη προσ-
κομίσας ἀναθεῖναί τις· ἕτερος
ἀναθεῖναι τὴν δεκάτην τῶν καρ-
πῶν, ἄλλος τῆς οὐσίας, ἕτερος
τὰ κράτιστα τῶν ποιμνίων, ἄλ-
λος τὴν ὕπαρξιν καθιεροῖ, καὶ
οὐδέπω μεγάλην εὐχὴν εὔξασθαι
δύναται τῷ κυρίῳ· ἀλλ' ἐκεῖνος
ὁ ἑαυτὸν ἀναθεὶς ὁλοτελῶς. ἐπι-
C χειρητέον γὰρ ἀληθεῖ λόγῳ πρὸς
ὑμᾶς, ὦ παρθένοι, τὴν κατὰ τὸ πνεῦ-
μα διάνοιαν δηλῶσαι τῆς γρα-
φῆς· ὁ γὰρ κατά τι μόριον φυ-
λασσόμενος καὶ προσέχων, κα-
τά τι δὲ παραπτόμενος καὶ πλημ-
μελῶν, ὅλος οὐκ ἀνάκειται θεῷ·
χρὴ γοῦν τὸν τέλειον πάντα ἀνα-
θεῖναι τά τε τῆς ψυχῆς, καὶ τὰ τῆς σαρ-
D κὸς, ὅπως ἄρτιος εἴη, καὶ μὴ ἐλλι-
πής. ταύτῃ γοῦν δὴ καὶ τῷ Ἀβραὰμ
ὁ θεὸς ὑφηγεῖται· λάβε μοι δά-
μαλιν τριετίζουσαν, λέγων, καὶ
αἶγα τριετίζουσαν, καὶ κριὸν τριε-
τίζοντα, καὶ τρυγόνα, καὶ περι-
στεράν· ὅ ἐστιν εὐφήμως ἐπίστη-
σον γὰρ, ὅτι περὶ τούτων κἀκεῖ-

νο παρεγγυᾷ· προσένεγκέ μοι, καὶ A φύλαξον ἄζυγα καὶ ἀκάκωτόν σου τὴν ψυχὴν, δαμάλεως δίκην, καὶ τὴν σάρκα, καὶ τὸν λογισμόν. τὴν μὲν ὡς αἶγα, ἐπειδὴ τὰ μετέωρα καὶ κρημνώδη περιπολεῖ· τὸν δὲ ὡς κριὸν, ἵνα μηδαμῶς ἀποσκιρτήσας ἐκπέσῃ καὶ ἐξολισθήσῃ τῆς ἀληθείας· οὕτω γὰρ ἐντελὴς ἔσῃ καὶ ἀνεπίληπτος, ὦ Ἀβραὰμ, ἀνα- B θεὶς ἐμοὶ καὶ τὴν ψυχὴν, καὶ τὴν αἴσθησιν, καὶ τὸν νοῦν· ἃ συμβολικῶς δάμαλιν ἔφη, καὶ αἶγα, καὶ κριὸν τριετίζοντα, οἱονεὶ τὴν γνῶσιν ἀκακέμφατον τῆς τριάδος ἐπανῃρημένα. τάχα δὲ καὶ τὴν πρώτην, καὶ τὴν μέσην, καὶ τὴν τελευταίαν τοῦ βίου καὶ τῆς ἡλικίας ἡμῶν C αἰνίσσεται τρίβον, βουλόμενος, ὡς ἔνι μάλιστα καὶ τὸν τῶν παίδων, καὶ τὸν τῶν ἀνδρῶν, καὶ τὸν τῶν γεραιτέρων χρόνον σωφρόνως βιώσαντας αὐτῷ προσενέγκασθαι· καθ᾽ ὃν τρόπον καὶ ὁ κύριος ἡμῶν ἐν εὐαγγελίῳ παρακελεύεται Ἰησοῦς Χριστὸς, ὧδε νομοθετῶν· οἱ λύχνοι ὑμῶν μὴ σβεννύσθωσαν, καὶ αἱ ὀσφύες ὑμῶν D μὴ λυέσθωσαν. διὰ τοῦτο καὶ ὑμεῖς ὅμοιοι γίνεσθε ἀνθρώποις προσδεχομένοις τὸν κύριον αὐτῶν, πότε ἀναλύσῃ ἐκ τῶν γάμων· ἵνα ἐλθόντι καὶ κρούσαντι αὐτῷ, εὐθέως ἀνοίξωσι· μακάριοι ἐστὲ, ὅτι

A innuunt ſententiam. Offer mihi & impolluta incorruptáque cuſtodi tuam primum animam vaccæ ſymbolo deſignatam, tum carnem, poſtremò mentem: quarum hæc quidem ſublimia cogitando perſequens per capram ſignificatur, animal per abrupta & præcipitia niti ſurſum ſolitum: illam verò adum- B brat aries, petulcum & exultabundum pecus, laſciuientem & ipſam ægréque ſe tenentem, niſi acri ab illicitis imperio repreſſa prohibeatur à veri officij via prolabi. Sic enim perfectus eris & irreprehenſibilis, ô Abraam, conſecratis mihi pariter, anima, ſenſu, & mente, tuis: quæ ſymbolicè per vac- C cam, capram, & arietem exprimuntur: quibus mentio ternarij inſpergitur ad inſinuandam ſanctæ ac benè ominatæ Trinitatis neceſſariam notionem. niſi forte hîc potius occultè innuitur prima, media, & vltima vitæ ac ætatis noſtræ via. Studente Deo quam maximè, vt enitamur contentione D ſummâ, pueritiam, virilem, & ſenilem ætatem caſtiſſimè tranſactas ei pariter dicare. quemadmodum & Dominus noſter Ieſus Chriſtus in Euangelio præcipit, ita præſcribens: *Sint lumbi veſtri præcincti & lucernæ ardentes in manibus veſtris: & vos ſimiles hominibus expectantibus Dominum ſuum quando reuertatur à nuptiis, vt cùm venerit & pulſauerit confeſtim aperiant ei. Beati ſerui illi, quos cùm venerit Dominus, inuenerit vigilantes: Amen dico vobis, quòd* Luc. 12. 35.

faciet illos diſcumbere, & tranſiens miniſtrabit illis. Et ſi venerit in ſecundâ vigiliâ, & ſi in tertiâ vigiliâ venerit, & ita inuenerit, beati ſerui illi. In his conſiderate tres deſignari vigilias noctis, veſpertinam, ſecundam, & tertiam: & tres in vnamquamque illarum intentari Domini Aduentus, ô Virgines, vt tres ætatum noſtrarum mutationes indicentur: quarum prima puerilem, adultam altera, ſenilem vltima indicat. Vult nempe nos Deus, ſiue adhuc pueros mori contingat, puros illibatóſque nulliúſque conſcios labis deprehendi. Similiter autem in ſecundâ tertiáque quaſi vitæ ſtatione, ſi nos in iis hora vltima conuenerit. Veſpertina cuſtodia florem adoleſcentiæ ac iuuentutem hominis habet, quâ turbari pars animæ ſuperior perturbationum fluctibus incipit; pubeſcente iam carne atque in libidinem geſtiente. Secunda æui maturitatem obtinet, per quam in virum iam perfectum homo euectus ſtatu niti quodam incipit, ac robur denique ſolidum adeptâ mente, concupiſcentiæ tumultibus erroribuſque vitæ dominari. Huic tertio loco vltima ſuccedit deficientis vitæ portio, quâ imagines pleræque cupiditatum euaneſcunt, marceſcente iam carne atque in ſenium vergente. Quamobrem conuenit accenſâ nos in corde ſemper ardente fidei lampade, & lumbis caſtimoniæ baltheo præcinctis, vigilare atque expectare

A ἀνακλινεῖ ὑμᾶς, καὶ παρελθὼν διακονήσει, κἂν τῇ δευτέρᾳ, κἂν τῇ τρίτῃ, μακάριοί ἐστε. ἐπισκέψασθε γὰρ ὅτι τρεῖς ὑποθέμενος φυλακὰς νυκτὸς, ἑσπερινὴν, καὶ δευτέραν, καὶ τρίτην, καὶ τρεῖς ἑαυτοῦ παρουσίας, ὦ παρθένοι, τὰς τρεῖς ἡμῶν τῆς ἡλικίας ᾐνίξατο μεταβολὰς, τὴν μειρακιώδη, καὶ τὴν B προέστηκον, καὶ τὴν πρεσβυτικήν· βουλόμενος ἵνα καὶ τὴν προτέραν ἄγοντας ἡλικίαν, τουτέστι παῖδας ὄντας, ἂν ἔλθῃ παραληψόμενος τοῦ κόσμου, ἑτοίμους καταλάβῃ καὶ καθαροὺς, μηδὲν ἐπιτετηδευκότας σκαιόν· καὶ τὴν δευτέραν ὁμοίως, καὶ τὴν τρίτην. ἑσπερινὴ γὰρ φυλακὴ ὁ καιρός ἐστι τῆς ἀκμῆς τοῦ C ἀνθρώπου, καὶ ἡ νεότης, καθ᾽ ἣν ἄρχεται ταράττεσθαι τὸ ἡγεμονικὸν, ἐπιθολούμενον ταῖς ἐξαλλαγαῖς τοῦ βίου, ἡβώσης αὐτοῦ τῆς σαρκὸς ἤδη καὶ τρεπομένης εἰς πάθος· δευτέρα δὲ, ὁπηνίκα λοιπὸν εἰς ἄνδρα τέλειον ἐλάσας, ἄρχεται στάσιν καὶ βεβαιότητα τῶν θορύβων ὁ νοῦς προσλαμβάνειν καὶ τῆς οἰήσεως· τρίτη δὲ, ὅτε D αἱ πλεῖσται φαντασίαι φθίνουσι τῶν ἐπιθυμιῶν, ἀπομαραινομένης ἤδη τῆς σαρκὸς, καὶ εἰς γῆρας προσκυπτούσης· διὸ προσῆκεν ἄσβεστον ἐν τῇ καρδίᾳ πίστεως ἐξάψαντας λύχνον, καὶ ὀσφῦν ἀναζωσαμένους τῆς σωφροσύνης, ἐγρηγορέναι καὶ προσδοκᾶν

ἀεὶ τὸν κύριον· ἵνα κἂν ἐν τῇ πρώτῃ ἡλικίᾳ παραλαβεῖν ἡμῶν τινας βουληθῇ, κἂν ἐν τῇ δευτέρᾳ, κἂν ἐν τῇ τρίτῃ ἐλθὼν, καὶ εὑρὼν ἑτοιμοτάτους, καὶ ἃ προσέταξεν ἐργαζομένους, ἀνακλινεῖ εἰς Ἀβραὰμ κόλπους, καὶ Ἰσαὰκ, καὶ Ἰακώβ· ὁ Ἱερεμίας δὲ, ἀγαθόν φησιν ἀνδρὶ ὅταν ἄρῃ ζυγὸν ἐν νεότητι αὐτοῦ, καὶ ἀπὸ τοῦ κυρίου μὴ ἀποστῇ ἡ ψυχὴ αὐτοῦ. ἀγαθὸν γὰρ ἐκ παίδων ὡς ἀληθῶς, ὑποθέντα τὸν αὐχένα τῇ θείᾳ προσοχῇ μὴ ἀποσείσασθαι μέχρι γήρως τὸν ἐπιβάτην καθαραῖς φρεσὶν ἐποχούμενον, ἀεὶ τὸν λογισμὸν εἰς τὸ χεῖρον καθέλκοντος τοῦ πονηροῦ. τίς γὰρ οὐ τὰς δι' ὀμμάτων, τίς δ' οὐ τὰς δι' ὤτων, τίς δ' οὐ τὰς διὰ γεύσεως, ὀσφρήσεώς τε, καὶ ἀφῆς ἡδονὰς καὶ τέρψεις ἀποδέχεται, τὸν ἡνίοχον μὴ φέρων σωφροσύνην, εἴργουσαν καὶ καθαιμάττουσαν τὸν ἵππον τῆς κακίας; ἕτερος μὲν οὖν εἰς τοῦτο ἐπιβλέψας, ἄλλα δοξάσει· ἡμεῖς δὲ ἀνατεθεῖναι λέγομεν ἑαυτὸν τελείως Θεῷ, ὃς ἐκ παίδων φιλοτιμεῖται φυλάττειν παρθενίαν ἀσκῶν. περισπούδαστος γὰρ, καὶ μεγάλας ἐλπίδων δωρεὰς τοῖς ἐφιεμένοις αὐτῆς ταχέως φέρει, τὰ λυμαντήρια τῆς ψυχῆς ἀπομαραίνουσα πάθη καὶ ὑπεκκαύματα· φέρε γὰρ

A perſeueranter Dominum: vt ſiue in primâ ætate noſtrum aliquos velit aſſumere, ſiue in ſecundâ, ſiue in tertiâ, veniens reperienſque paratiſſimos, & quæ mandauit exequentes, reclinet in ſinu Abraam, Iſaac, & Iacob. Ieremias vero, *Bonum eſſe* ait *viro cùm portauerit iugum ab adoleſcentiâ ſuâ:* & à (Ier. Thr. 3. 17.)
B Domino non defecerit anima eius. Bonum enim verè eſt, iam tum à pueritiâ ſuppoſitum diuinæ attentioni collum non retrahere vſque ad ſenectutem, neque excutere vectorem puris inſidentem mentibus: licèt mentem diabolus non ceſſet in peius abſtrahendo deflectere. Nam quis aliter quàm aurigam impoſitum geſtando caſtita-
C tem, vtique coercituram & domituram malo laſciuientem velut quendam equum nequitiæ, quis, inquam, aliter illecebras ſeſe per oculos, per aures, per guſtum inſinuantes, quis tactus delicias & molles iucunditates vltro ſe ingerentes non admittat? Erit fortè, qui hoc intuens, alia omnia ſentiet: noſtra verò hæc ſententia,
D hæc oratio eſt: perfectè ſeſe Deo conſecraſſe illum, qui à puero cuſtodire Virginitatem, frequentandis religionis & aliarum virtutum officiis, contendit. Rem enimuero expetendam: quippe quæ ipſam deſiderantibus magna pignora ſperatorum præmiorum in anteceſſum repræſentat, eo ipſo quòd animæ pernicioſas debilitat cupiditates, & incendiis quaſi frigidam affundit. Nunc

quomodo per eam Deo in ſoli-
dum ſacremur, explicandum eſt:
declarando legem, Numerorum
perſcriptam libro, in quâ magni
voti eſt mentio. Aio autem inter
vota omnia votum maximũ eſſe
caſtitatem: indéque id oſtendo,
quòd per eam, & palam, & in to-
tum, dedicata Domino ſum: cui
non modò intactam à viri con-
greſſu carnẽ meam, ſed ab omni,
qui ſine alieno tactu queat exi-
ſtere, ſenſu libidinis immacu-
latam cuſtodire contendo. Nam
innupta cogitat, inquit, *quæ Do-
mini ſunt, quomodo placeat Do-
mino*. Non ſolùm ne aliqua
parte claudicantem virtutis o-
pinionem referat: ſed vt vtro-
bique pariter, & in corpore, &
in ſpiritu ſanctificetur, mem-
bra ſua Deo conſecrans. Quid
porrò ſit conſecrare in ſolidum
ſe Deo, deinceps dicendum. Os
meum ſi apertum ad quædam
fuerit, ad quędam verò clauſum.
Puta, illud aperiam ad enarratio-
nes ſcripturarum, ad Dei laudes
iuxta orthodoxam doctrinam
magnificè pro facultate cele-
brandas; claudam verò, cuſto-
diam ipſi & oſtium imponens,
ne vana otioſaque loquatur:
tunc os meum caſtum eſt, & Deo
ſacrum. Lingua mea calamus
& inſtrumentum ſapientiæ ſit.
ſcribit enim per illam inſigni-
bus characteribus diuina manus,
ediſſerendis ſcripturarum ſenſi-
bus, & è profunditate oraculorũ
eruendâ in apertum S. Spiritus
ſententiâ mentem illuminans.

A εἰσηγήσομαι πῶς ἀνακείμεθα τῷ
κυρίῳ· τὸ γοῦν μεγάλως εὔξα-
σθαι εὐχὴν, ἐν τοῖς ἀριθμοῖς νο-
μοθετούμενον, τοῦτο παρίστησιν, ὅ-
περ ἐπὶ πλέον ἐγὼ διηγησαμένη
ἀποφαίνω, μεγάλην εὐχὴν εἶναι
παρὰ πάσας εὐχὰς ἀποδεικνύουσα
τὴν ἁγνείαν. τότε γὰρ ἀνάκειμαι καὶ
περιφανῶς καὶ πᾶσα τῷ κυρίῳ,
B ὁπότε μὴ μόνον τὴν σάρκα συνου-
σίας ἀνέπαφον, ἀλλὰ καὶ τῶν λοιπῶν
ἀτοπημάτων ἄσπιλον τηρεῖν ἀγω-
νίζομαι. ἡ γὰρ ἄγαμος μεριμνᾷ,
φησι, τὰ τοῦ κυρίου, πῶς ἀρέσει τῷ
κυρίῳ· οὐ μόνον ἵνα μὴ χωλὴν
τῆς ἀρετῆς κατά τι μέρος ἀπε-
νέγκηται τὴν δόξαν, ἀλλ' ἄμφω,
κατὰ τὸν ἀπόστολον, καὶ ἐν τῷ σώ-
C ματι, καὶ ἐν τῷ πνεύματι ἁγιάζηται,
ἀναθεῖσα τὰ μέλη κυρίῳ. τί γάρ
ἐστι τὸ ἀναθεῖναι ἑαυτὸν τελείως
κυρίῳ, λεκτέον· ἐὰν ἐπὶ τῶνδε
μὲν ἀνοίξω τὸ στόμα, ἐπὶ τῶνδε δὲ
κατακλείσω. οἷον, ἀνοίξω μὲν περὶ
τὰς ἐξηγήσεις τῶν γραφῶν, εἰς τὸ
ὀρθοδόξως ὑμνῆσαι καὶ μεγαλοπρε-
πῶς κατὰ δύναμιν τὸν θεόν· κατα-
D κλείσω δὲ, θύραν αὐτῷ θεμένη καὶ
φυλακὴν, τοῦ μάταια μὴ λαλεῖν·
ἁγνεύει μου τὸ στόμα, καὶ ἀνάκειται
τῷ Θεῷ. ἡ γλῶσσά μου κάλα-
μος γέγονε, σοφίας ὄργανον· γρά-
φει γὰρ δι' αὐτῆς ἀριδήλοις γράμ-
μασιν, ἀπὸ τοῦ βάθους καὶ τῆς
δεινότητος τῶν γραφῶν φωτίζων
τὸν νοῦν, τοῦ πνεύματος ὁ λόγος.

ὁ κύ-

A ὁ κύριος γραμματεὺς τῶν αἰώνων ὀξυγράφος, ὅτι ταχέως καὶ ὀξέως τὴν βουλὴν ἀναγράφεται μόνος καὶ πληροῖ τοῦ πατρός· ὀξέως σκύλευσον, ἀκούων, ταχέως προνόμευσον· τούτου κάλαμός ἐστιν ἡ γλῶσσά μου τοῦ γραμματέως· ἡγνίσθη γὰρ αὐτῷ καὶ ἀνάκειται κάλαμος, ὥσπερ ὡραῖος, ὡραιότερα γράφων τῶν B τὰ ἀνθρώπινα δόγματα κρατυνόντων ποιητῶν καὶ λογογράφων· ἐὰν ἐθίσω καὶ τὰς ὄψεις μὴ ἐπιθυμεῖν ὥρας σωμάτων, μηδὲ τέρπεσθαι θέαις ἀσχήμοσιν, ἀλλὰ τὰ ἄνω περισκοπεῖν, ἁγνεύουσι καὶ οἱ ὀφθαλμοὶ, καὶ ἀνάκεινται τῷ κυρίῳ· ἐὰν τὰ ὦτα φράξασα ἀπὸ δυσφημίας καὶ ψιθυ- C ρισμῶν, ἀναπετάσω λόγοις θεοῦ, φοιτῶσα παρὰ σοφοῖς, ἀνατέθεικα καὶ τὰς ἀκοὰς κυρίῳ. ἐὰν ἀποστήσωμαι τὰς χεῖρας ἀπὸ καπηλείας, ἀπὸ μεταπράσεως, ἀπὸ φιλοχρημοσύνης, ἀπὸ πληκτισμοῦ, ἁγνεύουσι καὶ αἱ χεῖρες θεῷ· ἐὰν ἐφέξω τὸ πορευτικὸν διεστραμμένας ὁδοὺς πορεύεσθαι, D ἀνατέθεικα καὶ τοὺς πόδας, οὐκ εἰς δικαστήρια καὶ θιάσους παρερχομένη, ὅθι ἄνδρες ἀλιτρόδικαι τελέθουσιν· ἀλλ' εἰς τὸ κατορθῶσαι, πληρώσασά τι τῶν ἐντολῶν. τί μοι λοιπὸν, ἐὰν διαγνεύω καὶ τὴν καρδίαν, πάσας τὰς δια-

corde caſta, & ſacra Deo ſim?

A Velociter ſcribens ſcriba qui vtitur hoc calamo, Dominus eſt ſæculorum, ſtrenuus, & morarum ſegnium oſor artifex. Quare celeriter ac raptim conſilium ſolus & ſcribit & implet Patris. cui meritò nomen inditum eſt: *Accelera ſpolia detrahere, feſtina prædari.* Iſa. 8. 3. Huius calamus eſt ſcribæ lingua mea, caſtè ipſi pro- B pterea ſacrata, & ſpecie quadam fulgens eius amore digna: quippe pulchriora ſcribens, quàm vel Poëtæ, vel ſcriptores alij, qui humanis adſtruendis opinionibus eloquentiam conſumunt. Si aſſuefecero meos oculos non concupiſcendis formis corporum; neque eos ſiuero ſpectaculis indecoris delectari, ſed cæleſtia C ſuſpicere iuſſero: caſti erunt oculi, & Deo ſacri. Si rurſus aures aduersùs obtrectationes & murmurationes ſepiuero, aperuero autem eas verbo Dei, frequentans auditoria ſapientum: conſecraui & aures Domino. Si auertero manus à turpi & fraudulentâ nundinatione, à plagio, ab auaritiâ, ab iniuſtâ vi: caſtæ ſunt manus quoque, ac D dicatæ Deo. Si facultatem gradiendi cohibuero, ne peruerſas ingrediatur vias, cõſecraui Deo pedes etiam: non ad fora, non ad conuiuales cœtus aut choreas, vbi viri ſint perditi, me conferens; verùm ſemper eos adhibens ad implenda Dei mandata. Quid reſtat poſt hæc, niſi vt quod conſequar cunctis meis

cogitationibus ad Dominum referendis; nihil malum mente verſando, mundanum nihil reputans; ſi non penes me ſuperbia, non ira reſideat; ſi legem Domini die meditor ac nocte. Hoc demum eſt *magnam caſti-*
Num. 6. *ficare caſtitatem, magnum vouentem votum*. Hinc iam conſequenter exponere pergam, quæ iſto legis loco præſcribuntur, quæ in veſtris ipſæ quotidianis ſtudiis & exercitiis recognoſcetis. Dudum enim illa obſeruatis: meritò quidem, ea enim ritum & formulam Virginitatis veræ continent, docentia quibus abſtinere, quæque ab ſe arcere deceat Virginem. Sic autem habent. *Et*
Num. 6. *locutus eſt Dominus Moyſi, dicens: loquere Filiis Iſraël, & dices ad eos: Vir, ſiue mulier, quicumque magnè fecerit votum caſtificandi caſtitatem Domino, à vino & ſicerâ temperabit: & acetum ex vino, & acetum ex ſicerâ, & quæcumque ex vua fiunt, non bibet; & vuam recentem, & vuam paſſam non comedet, omnibus diebus voti ſui.* Hoc eſt: ex iis quæ gignuntur ab arbore nequitiæ, qui vouit Domino, ſéque ipſi conſecrauit, non carpet, quòd ea ſoleant ebrietatem, & à vigili rationis exercitio alienationem inducere. Duo porrò genera vitium diuerſa, quantum ex ſcripturis intelligimus, ſeparatim inuicem naſcuntur, & diſſimiliter inter ſe habent. Quarum vna

A νοήσεις αὐτῆς ἀνατεθεῖσα κυρίῳ, φαῦλον οὐδὲν ἐνθυμοῦμαι, κοσμικὸν οὐδὲν διαλογίζομαι, τῦφος οὐκ ἐμπολιτεύεται καὶ ὀργὴ παρ' ἐμοί, τὸν νόμον καὶ ἐν ἡμέρᾳ μελετῶ κυρίου καὶ ἐν νυκτί· καὶ τοῦτ' ἔστι μεγάλην ἁγνείαν ἁγνεῦσαι, μεγάλην εὐξάμενον εὐχήν. πειράσομαι δὲ καὶ τὰ ἑξῆς ὑμῖν τούτων, παρθένοι, B φράσαι τῶν διατάξεων, ἐπειδήπερ τῶν σφετέρων ἐξήρτηται καὶ αὐτὰ κατορθωμάτων, θεσμὸς περὶ παρθενίας ὄντα, καὶ χρησμοὶ διδάσκοντες ὧν ἀπέχεσθαι προσήκει, καὶ ἀναγωγὸν εἶναι, τὴν παρθένον· γέγραπται γὰρ οὕτως· καὶ ἐλάλησε κύριος τῷ Μωϋσῇ, λέγων· λάλησον τοῖς υἱοῖς Ἰσραήλ, καὶ ἐρεῖς C πρὸς αὐτούς· ἀνὴρ, ἢ γυνή, ὃς ἂν μεγάλως εὔξηται εὐχὴν ἀφαγνίσασθαι κυρίῳ, ἀπὸ σίκερα καὶ οἴνου ἁγνισθήσεται, καὶ ὄξος ἐξ οἴνου, καὶ ὄξος ἐκ σίκερα, καὶ ὅσα κατεργάζεται ἐκ σταφυλῆς οὐ πίεται· καὶ σταφυλὴν πρόσφατον, καὶ σταφίδας οὐ φάγεται, πάσας τὰς ἡμέρας τῆς εὐχῆς αὐτοῦ· ὅπερ ἐστὶν, D ἀπὸ τοῦ φυτοῦ τῆς πονηρείας τῶν γινομένων, ὁ κατεγγυήσας ἑαυτὸν τῷ κυρίῳ καὶ ἀναθεὶς, οὐ δρέψεται, διὰ τὸ παρεκτικὸν ἀεὶ μέθης αὐτὸ καὶ ἐκστάσεως πεφυκέναι. δύο γὰρ ἀμπέλων διαφορὰς ἐκ τῶν γραφῶν ᾐσθήμεθα, αἳ χωρὶς ἀλλήλων γινέσθην, ἀνομοίως τε ἐχέτην· ἡ μὲν γὰρ

ἀθανασίας τε καὶ δικαιοσύνης ἐστὶ παρεκτική, ἡ δὲ μανίας αὖ καὶ παραφροσύνης· ἄμπελος μὲν γὰρ νηφάλιος, καὶ εὐφραντική, κλημάτων δίκην, ἐκ τῶν μαθημάτων τοὺς βότρυς ἱλαρῶς ἀπαιωροῦσα τῶν χαρισμάτων καταστάζοντας ἀγάπην, ὁ κύριος ἡμῶν ἐστὶν Ἰησοῦς, ὁ λέγων διαῤῥήδην τοῖς ἀποστόλοις· ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, ὑμεῖς τὰ κλήματα, ὁ δὲ πατήρ μου ὁ γεωργός· ἀγρία δὲ καὶ θανατηφόρος, ὁ διάβολος, λύσσαν, καὶ ἰὸν, καὶ ὀργὴν ἀποστάζων· ὥσπερ δὴ καὶ Μωϋσῆς ὑφηγεῖται διαγράφων περὶ αὐτῆς· ἐκ γὰρ ἀμπέλου Σοδόμων, φησίν, ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόῤῥας· ἡ σταφυλὴ αὐτῶν, σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτῶν· θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς ἀσπίδων ἀνίατος· ἐκ ταύτης τρυγήσαντες οἱ Σοδόμων οἰκήτορες, εἰς ἄκαρπον ἀῤῥένων ὄρεξιν οἰστρηλατήθησαν τραπῆναι παρὰ φύσιν. ἐντεῦθεν οἱ ἐπὶ Νῶε κραιπαλήσαντες, εἰς ἀπιστίαν κατώλισθον, καὶ ὑποβρύχιοι κατεποντώθησαν κατακλυσμῷ· ἐντεῦθεν ἀρυσάμενος ὁ Καΐν, τὰς μισαδέλφους ἐφοίνιξε χεῖρας, καὶ ἔχρανε τὴν γῆν λύθρῳ συγγενεῖ· ἐντεῦθεν μεθυσκόμενα τὰ ἔθνη, θήγουσιν ἑαυτῶν εἰς ἀλληλοφόνους μάχας τοὺς θυμούς. οὕτω γὰρ οὐκ ἐξίσταται ἄνθρωπος ἀπὸ οἴνου καὶ παραπαίει, ὥσπερ ἀπὸ ζήλου καὶ ὀργῆς;

A quidem immortalitatis & iuſtitiæ præbitrix eſt: altera è contrario, furoris atque dementiæ. Vitis quidem prior, ſobria, lætificans cor, è ſuis præceptis tamquam è palmitibus lætas oſtentans dependentes vuas chariſmatum, ſtillantes caritatem, Dominus noſter eſt Ieſus, manifeſtè dicens Apoſtolis: B *Ego ſum vitis vera, vos palmites, pater autem meus agricola.* Ioan. 15. Sylueſtris verò alia & mortifera vitis, diabolus eſt; rabiem, & venenum, & itam diſtillans. Vti & Moyſes innuit ſcribens de ipsâ: *Ex vite Sodomorum vitis eorum, & palmes eorum ex Gomorrhâ: vua eorum, vua fellis, botrus amaritudinis eis.* Deuter. 32.32. C *Furor draconum vinum eorum, & furor aſpidum inſanabilis.* Ex hâc vite collectâ vindemiâ, Sodomorum ciues in ſterilem maſculorum concupiſcentiam æſtu furioſæ libidinis ebullierunt, contra naturæ vſum. Indidem qui Noë temporibus crapulæ indulgebant, in infidelitatem prolapſi ſunt, & ſubmerſi diluuio perierunt. D Inde hauſto Caïn poculo, parricidales manus fraterno ſanguine cruentauit, & terram cognato cruore polluit. Inde ebriæ gentes ſuos acuunt in pugnas & mutuas cædes barbaros furores. An non enim homo vt à vino dementatus titubat & offendit, ſic & ab inuidiâ & ab irâ quoque?

An non vt inebriatus vino furit, ſic dolore, ſic amore, ſic libidine amens ruit? Ab hac vite præcipitur Virgini ne guſtet: quò ſobria & vigil à curâ ſæculari, lucentem lampadem lucis iuſtitiæ accendat Verbo. *Attendite* enim inquit Dominus, *ne grauentur corda veſtra crapulâ & ebrietate, & curis huius vitæ: & ſuperueniat in vos repentina dies illa, tamquam laqueus.* Non ſolùm autem ex iis quæ fiunt ex hâc vite præcipitur Virgini ne vllo modo guſtet, ſed & ex illis quoque quæ eam imitantur, eique ſunt affinia. Sicera enim vocatur omne vinum factitium, non naturâ genitum, ſed arte paratum, ſiue ex palmis, ſiue ex aliis pomis aut fructibus expreſſum ſit. Quemadmodum enim vini pocula, ſic & hæ potiones obturant offuſcántque rationem vehementer: adeóque, vt vobis quod res eſt dicam, quidquid, præter vinum ex vite natum, ebrietatem & mentis alienationem bibenti obiicit, ſiceræ vocabulo à ſapientibus deſignatur. Ne igitur Virgo ſolùm ſibi à veris & genus malum ipſa ſui ſpecie præferentibus peccatis nequitiæ cauens, iis polluatur quæ illam quadamtenus æmulantur & participant, aliorum victrix, ab aliis ſuperata, hoc eſt, ne veſtium verſicolorum ſpecioſis emollita

Luc. 21. 32.

A οὕτως οὐ μεθύσκεταί τις ἀπὸ οἴνου καὶ παραφρονεῖ, ὡς ἀπὸ λύπης, ὡς ἀπὸ ἔρωτος, ὡς ἀπὸ ἀκρασίας; ἀπὸ ταύτης προστέτακται τῆς ἀμπέλου μὴ γεύσασθαι τὴν παρθένον, ἵνα νηφάλιος ὑπάρχουσα καὶ ἄϋπνος ἀπὸ μερίμνης βιωτικῆς, ἐκλάμπειν τὴν λαμπάδα τοῦ φωτὸς τῆς δικαιοσύνης ἐξάπτῃ τῷ λόγῳ· B προσέχετε γάρ, φησὶν ὁ κύριος, μήποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι κραιπάλῃ, καὶ μέθῃ, καὶ μερίμναις βιωτικαῖς, καὶ ἐπιστῇ ἐφ' ὑμᾶς ἡ ἡμέρα ἐκείνη ὡς παγίς. οὐ μόνον δὲ τῶν ἐκ τῆς ἀμπέλου κατεργαζομένων ἐκείνης προστέτακται μηδαμῶς κατὰ μηδένα τρόπον προσψαύειν τὴν παρθένον, C ἀλλὰ καὶ τῶν ἀντιμίμων αὐτῆς καὶ παραπλησίων· σίκερα γὰρ πᾶς ὁ σκευαστὸς οἶνος καλεῖται καὶ νόθος, κἄν τι ἐκ τῶν φοινίκων, κἂν ἐκ τῶν ἄλλων ἀκροδρύων σκευαζόμενος ᾖ· ἐπισομίζουσι γὰρ ὃν τρόπον αἱ ἐξ οἴνου προποσίαι, καὶ ταῦτα, σφοδρῶς τὸν λογισμόν, καὶ εἰ χρὴ φάναι λόγῳ πρὸς ὑ- D μᾶς ἀληθεῖ, πᾶν τὸ μέθην φέρον καὶ ἔκστασιν ψυχῆς, μετὰ τὸν οἶνον τὸν ἐξ ἀμπέλου, σίκερα κικλήσκουσιν οἱ σοφοί. ὅπως οὖν δὴ μὴ μόνον τῶν γνησικῶν ἁμαρτημάτων φυλαττομένη τῆς πονηρίας, ὑπὸ τῶν ἀντιμίμων αὐτῆς χραίνηται καὶ ἀντιρρόπων, ἑτέρων μὲν κρατοῦσα, ὑφ' ἑτέρων δὲ κρατουμένη, τουτέστιν, ἱματίων διαφερόντων ὑφαῖς ἁβρυ-

νομένη, ἢ καὶ λίθοις, καὶ χρυσῷ, καὶ πλεονεξίᾳ, καὶ τοῖς ἄλλοις τοῖς περὶ τὸ σῶμα καλλωπισμοῖς· ἃ δὴ καὶ αὐτὰ μεθύσκει τὴν ψυχήν· διὰ τοῦτο ταῦτα νομοθετεῖ, ἵνα μὴ εἰς γυναικισμοὺς ἐκχέηται, καὶ γέλωτας, καὶ ἀπάτας ἀνασοβουμένη καὶ μωρολογίας· ἀφ' ὧν ὠδίνουσι καὶ κύουσι τὸν πονηρὸν λογισμόν, ὥσπερ καὶ ἐν ἑτέροις ἐμήνυσεν· οὐ φάγεσθε τὴν ὕαιναν, εἶπεν, καὶ τὰ ὅμοια αὐτῇ. αὕτη γὰρ ὀρθὴ πρὸς οὐρανὸν καὶ σύντομος ὁδοιπορία, τὸ μὴ μόνον ἐμπόδιον ἐφέλκεσθαί τε τῶν ἐκτραχηλιζόντων τὸν ἄνθρωπον, ἐπτοημένην περὶ τὰς ἡδυπαθείας καὶ τέρψεις, ἀλλὰ καὶ τῶν αἰτημίμων αὐτοῖς· καὶ γὰρ θυσιαστήριον ἀναίμακτον εἶναι παρεδόθη θεοῦ τὸ ἄθροισμα τῶν ἁγνῶν· οὕτω μέγα τι χρῆμα καὶ ἔνδοξον ἡ παρθενία φαίνεται. διὸ δὴ καὶ ἄχραντον αὐτὴν καὶ καθαρὰν πάντη φυλακτέον, μηδὲν κοινωνοῦσαν ταῖς σαρκὸς ἀκαθαρσίαις, ἀλλ' ἔσω, κατὰ πρόσωπον τοῦ μαρτυρίου, σοφίᾳ κεχρυσωμένην εἰς τὰ ἅγια τῶν ἁγίων ἱδρῦσθαι, τὴν εὐωδίαν τῆς ἀγάπης ἀναθυμιῶσαν κυρίῳ. ποιήσεις γάρ μοι, φησί, μετὰ τὸ θυσιαστήριον τὸ περικεχαλκωμένον εἰς τὰ ὁλοκαυτώματα, ᾧ ἀνεκομίζοντο αἱ προσφοραί, ἄλλο θυσιαστήριον ἐξ ἀσήπτων ξύλων, καὶ καταχρυσώσεις αὐτὸ χρυσίῳ, καὶ δώσεις αὐ-

A textibus, vel gemmis & auro, & quæ iſtis ſumptum ſuggerit, auaritiâ, ſimilibúſque corporis ornamentis capta irretiráque teneatur (quæ & ipſæ curæ animam inebriant) propterea hæc præcipit: cohibens etiam ipſam, ne excuſſa in muliebres leuitates effundatur, in riſus, fallacias, ſcurrilitates. Nam & B hæc parturiunt, conceptámque fouent, impudicam cogitationem: vti & alibi ſignificauit, ſic præſcribens. *Ne comedite hyænam & ſimilia eius.* Leu. 11. Hæc enim recta demum & breuis in cælum via eſt: non modò non trahere Virginem ſecum quæ impedimento eunti ſint, quæque ipſam præcipitare in caſum valeant; ſed & ab iis ca- C uere, quæ iſtis ſunt affinia. Nam altare incenſi, ab omni etiam cruoris victimarum macula purum, traditum nobis eſt Deo eſſe debere cœtum caſtorum. adeo magna & præclara res Virginitas eſt. Quare immaculatam illam & perfectè puram omni curâ ſeruare oportet, nulla in re communicantem cum D immunditiis carnis, ſed intus ante faciem Teſtimonij ſapientiâ deauratam, versùs ſancta ſanctorum erigere ſuffitum ſemper exhalantem Deo ſuauis odoris caritatis. *Facies* enim inquit, *mihi poſt altare circumtectum ære, ad holocauſta, quò deferuntur oblationes, aliud altare ex imputribilibus lignis, & deaurabis illud auro & dabis il-* Exod 30.

lud in conſpectu veli, quod eſt ſuper arcam teſtimonij, ante faciem propitiatorij, quod eſt ſupra teſtimonia in quibus manifeſtabor tibi illic. Et adolebit ſuper illud Aaron incenſum aromatum mane, quando concinnabit lucernas. adolebit ſuper illud incenſum ſemper in conſpectu Domini in generationes veſtras: non inferet ſuper illud incenſum alienum, & holocauſtum, ſacrificium, & libationem non libabit ſuper ipſum. Si lex eſt iuxta Apoſtolum ſpiritualis, imagines continens futurorum bonorum: age, reducto velo literæ euolutam intueamur ad nudum veritatem. Tabernaculum, quod formare exornaréque variè Hebræi iuſſi ſunt, expreſſio quædam Eccleſiæ fuit, vt rebus informatum ſenſibilibus haberent ſimulacrum, quo diuina olim euentura myſteria prænunciarent. Nam quod oſtenſum exemplar in monte eſt, in quod intuens fabricatus eſt Tabernalum Moyſes, idea quædam exacta erat domicilij cæleſtis, cui nos quoque nunc repræſentandæ ſeruimus, liquidiùs quidem, quàm ſi adhuc in figuris verſaremur legis veteris, non tamen ita clarè, vt quando ipſa per ſeipſam ſe palam oſtendet veritas. Verum enim purum & liquidum, quæ mortalitatis huius conditio eſt, nondum ſe hominibus indulſit: quippe cùm meræ incorruptionis intuitum ferre non poſſimus: vti neque noſtri oculi contra intueri ſolis radios im-

A τὸ ἀπέναντι τοῦ καταπετάσματος, τοῦ
ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου, κατὰ
πρόσωπον τοῦ ἱλαστηρίου, ὅ ἐστιν
ἐπὶ τῶν μαρτυρίων, ἐν οἷς γνωσθήσο-
μαί σοι ἐκεῖ, καὶ θυμιάσει ἐπ᾽ αὐτοῦ
Ααρὼν θυμίαμα ἀρωμάτων ἐν
πρωῒ, ὅτε ἀγαθύνῃ τοὺς λύχνους,
θυμιάσει ἐπ᾽ αὐτοῦ θυμίαμα δια-
παντὸς ἔναντι κυρίου εἰς τὰς γενεὰς
B ὑμῶν· οὐκ ἀνοίσεται ἐπ᾽ αὐτοῦ θυμίαμα
ἀλλότριον, καὶ ὁλοκαύτωμα, θυσίαν,
καὶ σπονδὴν οὐ σπείσεται ἐπ᾽ αὐτοῦ· εἰ
ὁ νόμος ἐστὶ, κατὰ τὸν ἀπόστολον, πνευ-
ματικὸς, τὰς εἰκόνας ἐμπεριέχων τῶν
μελλόντων ἀγαθῶν· φέρε δὴ, ἀπαμ-
φιάσασαι τὸ ἐπ᾽ αὐτῷ κάλυμμα
τοῦ γράμματος, ἐφηπλωμένην ἐπι-
σκεψώμεθα γυμνῶς τὴν ἀκρίβειαν.
C μίμημα τῆς Ἐκκλησίας ἐκελεύον-
το δαιδαλεῖν Ἑβραῖοι τὴν σκηνὴν,
ἵν᾽ ἔχοιεν διὰ τῶν αἰσθητῶν τὴν
εἰκόνα τῶν θείων προκαταγγέλ-
λειν πραγμάτων. τὸ γὰρ ἐν τῷ ὄρει
παράδειγμα παρενεχθὲν, πρὸς
ὃ βλέπων ἐτεκτήνατο τὴν σκηνὴν ὁ
Μωϋσῆς, ἰδέα τις ἦν τῆς κατὰ τὸν οὐ-
ρανὸν οἰκήσεως ἀκριβὴς, ἣν ἡμεῖς
D τρανότερον μὲν τῶν τύπων, ἀμαυρό-
τερον δὲ τῆς ἀληθείας, θεραπεύομεν
νῦν· ἦλθε γὰρ ἀκραιφνὲς εἰς ἀν-
θρώπους, ὡς πέφυκεν, οὔπω τὸ ἀλη-
θὲς, οἳ μηδὲ βαστάσαι φέρομεν ἄκ-
ρατον ἐνταῦθα θεάσασθαι τὴν ἀφθαρ-
σίαν, ὁπότε μηδὲ τὰς ἡλιακὰς αὐγ-

δὴν ἀκτῖνας· ἀλλὰ Ἰουδαῖοι μὲν τὴν σκιὰν τῆς εἰκόνος τρίτην ἀπὸ τῆς ἀληθείας κατηγγέλκασιν· ἡμεῖς δὲ τὴν εἰκόνα τῆς κατ᾽ οὐρανὸν διοικήσεως ἐναργῶς ἐκθειάζομεν· τὸ γὰρ ἀληθὲς ἀκριβῶς μετ᾽ ἀνάστασιν δηλωθήσεται, ὁπότε πρόσωπον κατὰ πρόσωπον τὴν ἁγίαν σκηνὴν, τὴν πόλιν τὴν ἐν οὐρανοῖς, ἧς τεχνίτης καὶ δημιουργὸς θεὸς, ἀλλ᾽ οὐ δι᾽ αἰνιγμάτων καὶ ἐκ μέρους, ἐποπτεύσομεν. Ἰουδαῖοι μὲν γὰρ τὰ ἡμέτερα προανεφώνησαν· ἡμεῖς δὲ τὰ οὐράνια προαναγγέλλομεν· ἐπειδήπερ ἡ μὲν σκηνὴ σύμβολον ἦν τῆς ἐκκλησίας· ἡ δὲ ἐκκλησία, τῶν οὐρανῶν. διὸ τούτων οὕτως ἐχόντων, καὶ τῆς σκηνῆς ἐν τύπῳ τῆς ἐκκλησίας, ὡς ἔφην, λαμβανομένης, χρὴ καὶ τὰ θυσιαστήρια σύνθημά τι τῶν κατὰ τὴν ἐκκλησίαν πραγμάτων φέρειν, καὶ τὸ μὲν περικεχαλκωμένον ἀπεικάζεσθαι τῇ γερουσίᾳ καὶ τῷ περιβόλῳ τῶν χηρῶν· θεοῦ γάρ εἰσιν ἔμψυχος βωμὸς, εἰς ὃν ἀνακομίζονται τοὺς μόσχους καὶ τὰς δεκάτας, καὶ τὰ ἑκούσια θυσίαν τελούμενα κυρίῳ· τὸ δὲ περίχρυσον θυσιαστήριον, ἔνδον ἐν τοῖς ἁγίοις τῶν ἁγίων ἀνακείμενον, κατὰ πρόσωπον τοῦ μαρτυρίου, εἰς ὃ ἀπείρηται θυσίαν καὶ σπονδὴν ἀναφέρεσθαι, ταῖς ἐν παρθενίᾳ παραβλητέον,

A pune ſuſtinent. Iudæi portò
vmbram imaginis tertiam à ve-
ritate annunciarunt: nos verò
imaginem ipſam vno gradu
admotiorem veritati gerimus
in iis, quæ diuino inſtituto in
Eccleſiâ fiunt, illuſtre præferen-
tes ſimulacrum conuerſationis
gubernationiſque cæleſtis, cu-
ius manifeſta ſpecies tantùm
B poſt reſurrectionem in apertum
conſpectum dabitur, quando
iam facie ad faciem ſanctum
Tabernaculum, ciuitatem cæ-
leſtem, cuius artifex & condi-
tor Deus eſt, non autem am-
pliùs in ænigmate & ex parte,
videbimus. Nempe vt Iudæi
res noſtras præſignificauerunt
ſuis vmbris: ſic nos cæleſtia
prænunciamus, eorum imagines
C exhibentes: quandoquidem Ta-
bernaculum quidem Eccleſiæ
ſymbolum fuit, Eccleſia verò
repræſentatio vitæ cæleſtis eſt.
Quare cùm, vt diximus, Taber-
naculum Eccleſiæ figura fuerit:
videndum reſtat, quam Eccle-
ſiæ partem propriè ſpectauerint
altaria, quæ commemorauimus,
duo. Ego per prius quidem ære
D tectum, ſenilem chorum vidua-
rum in ſacro ſepto degentium
intellexerim. Dei enim ſpirans
ara ſunt, ad quam paſſim con-
feruntur vituli, decimæ, & vo-
luntariæ oblatæ, quæ in Domi-
ni ſacrificium cedunt. Inaura-
tum autem altare, intus in ſan-
ctis Sanctorum repoſitum, an-
te faciem teſtimonij, in quod prohibitum eſt ſacrificium &
libationem ferre, ad eas quæ in ſtatu Virginitatis ſunt, videtur

referendum, quarum corpora A
libidinoſæ omnis expertia pu-
tredinis immortali auro prote-
cta ſunt. Aurum duabus paſſim
commendatur dotibus: quòd
rubiginem non contrahat, &
quòd fulgore innato, radiorum
ſolis ſpeciem quamdam referre
re videatur. Aptum in vtro-
que Virginitatis ſymbolum,
nullas admittentis ſordes ac
maculas, & ſemper diuini B
Verbi luce reſplendentis: pro-
ptereáque meritò intra ſacra
penetralia, proximè ſancta San-
ctorum, in conſpectu Patris im-
maculatis collocata manibus,
incenſi ritu preces aſſiduas mit-
tit Domino, acceptas in odorem
ſuauitatis. Sicut & Ioannes ſi-
Apoc. 5. 8. gnificauit, incenſum quod in
phialis vigintiquatuor ſeniorum C
erat, orationes Sanctorum eſſe
dicens. Hæc tibi de caſtitate,
prout in promptu licuit, &
ego pro viribus, ô Arete, con-
fero.

A τῷ ἀκηράτῳ χρυσῷ τὰ ἄσπιλα
συνουσίας σώματα κατησφαλισ-
μέναις. δύο γὰρ τὰ εἰς ἔπαινον
θρυλλοῦνται χρυσοῦ, ὅτι τε ἰὸν οὐ
παραδέχεται, καὶ τὴν χροιὰν τῆς
ἡλίου μετρίως παραπλησιάζειν
φαντάζεται βολαῖς· σύμβολον δὲ
εἰκότως ἄρα τοῦτο τῆς ἁγνείας τῆς μὴ
προσιεμένης ἐπὶ κηλῖδα καὶ σπῖ-
B λον, ἀλλὰ καὶ φωτὶ καταστραπτο-
μένης ἀεὶ τοῦ λόγου· καὶ ἔνδον
εἰς τὰ ἅγια τῶν ἁγίων ἕστηκε πλη-
σιαίτερον, καὶ ἔμπροσθεν τοῦ πα-
τρὸς, ἀχράντοις χερσὶ, θυμιαμάτων
δίκην, τὰς προσευχὰς ἀναπεμ-
πάζουσα κυρίῳ, δεκτὰς εἰς ὀσμὴν
εὐωδίας· καθὼς καὶ Ἰωάννης ἐμήνυ-
σε, τὰ θυμιάματα τὰ ἐν ταῖς φιά-
λαις τῶν εἰκοσιτεσσάρων πρεσβυτέ-
C ρων, προσευχὰς ἁγίων εἶναι φρά-
σας. Ταῦτά σοι, ὡς ἐκ τοῦ παραχρῆ-
μα, κἀγὼ κατὰ δύναμιν, ὑπὲρ
ἁγνείας, ὦ Ἀρετὴ, συμβάλλομαι.

AGATHA.

ORATIO VI.

HÆc locutâ Thalluſâ, refe- D
rebat ab Arete Theopatra
ſceptro contactam Agatham:
háncque, ſimul ſenſit, exſurrexiſ-
ſe, & ſic reſpondiſſe. Cùm multa
fiducia tum perſuadédi quod di-
cam, tum benè ac feliciter pero-
randi, ô Arete, ſuſcipiam prouin-
ciam quam imponis, te vtiq; ip-
sâ in eius geſtione mihi affuturâ.

ΑΓΑΘΗ.

ΛΟΓΟΣ ϛʹ.

D ΕΙΠΟΥΣΗΣ δὲ ταῦτα
τῆς Θαλλούσης ἡ Θεοπά-
τρα ἔφη τῷ σκήπτρῳ τὴν Ἀ-
ρετὴν ψαῦσαι τῆς Ἀγάθης· τὴν
δ' αἰσθομένην εὐθέως ἀναστῆναι,
καὶ ἀποκρίνασθαι· ὅτι μετὰ πολ-
λῆς εὐτολμίας, καὶ πειθοῦς, καὶ
τῆς τοῦ καλῶς εἰπεῖν ὑπολήψεως,
ὦ Ἀρετὴ, σοῦ παρομαρτούσης,
πειρά-

A Πειράσομαι δὴ κἀγὼ κατὰ δύναμιν εἰς τὸ προκείμενον εἰσενέγκασθαί τι, κατ' ἐμαυτὴν μέντοι, καὶ οὐ πρὸς τὰ εἰρημένα. οὐ γὰρ ἂν δυναίμην ἐφάμιλλα τούτοις οὕτω ποικίλως καὶ λαμπρῶς ἀπειργασμένοις φιλοσοφεῖν· δόξω γὰρ ἀποφέρεσθαι ψόγον ἀβελτηρίας, εἰ τοῖς κατὰ σοφίαν ἐξισάζεσθαι κρείττοσι προσαποδώην. εἰ
B οὖν ἀνέχεσθε καὶ τὸ ὅπως ἂν τύχῃ ῥητορευόντων, ἐπιχειρῶ λέγειν, οὐδὲν προθυμίας καθυφειμένη· ἀρκτέον δὲ ἐντεῦθεν.

Ἀμήχανον, ὦ παρθένοι, κάλλος, καὶ συγγενὲς τῇ σοφίᾳ, καὶ πρόσφορον, ἅπαντες εἰς τὸν κόσμον κεκτημένοι τοῦτον ἀφικνούμεθα·
C ἀπηκρίβωνται γὰρ αἱ ψυχαὶ τῷ γεννήσαντι τότε μάλιστα καὶ πλασαμένῳ, ὁπότε τὴν καθ' ὁμοίωσιν ἰδέαν ἄχραντον ἐκλάμπουσαι, καὶ τοὺς χαρακτῆρας τῆς ὄ-
D ψεως ἐκείνης, πρὸς ἣν ἀφορῶν ὁ θεὸς, ἀθάνατον μορφὴν καὶ ἀδιώλεθρον ἐχούσας αὐτὰς ἀπειργάζετο, τοιαῦται διαμένουσι. τὸ γὰρ ἀγέννητον κάλλος καὶ ἀσώματον, καὶ μήτε ἀρχόμενον, μήτε φθίνον, ἀλλ' ἄτρεπτον καὶ ἀγήρω, καὶ ἀπροσδεὲς, αὐτὸς ἐν ἑαυτῷ καὶ εἰς αὐτὸ φῶς ἐν ἀφράστοις καὶ ἀπροσίτοις ἀναπαυόμενον ἐξουσίαις, περιουσίᾳ πάντα

A Conabor, inquam, & ego ad argumẽti propoſiti tractationem conferre aliquid, accommodatum illud quidem potius ad captum tenuitatis meæ, quàm debitâ proportione reſpondens iis quæ iam ab aliis perorata ſunt. Non enim poſſem compatabilia iis adeò variè ac ſplendidè elaboratis diſputare. Et ſtultitiæ
B profectò notam in me attractatura mihi videor, ſi ad id connitar, eóque inſiliam, vt ad eorum ęqualitatem dicendi laude pertigiſſe iudicer, qui ſapientiâ præſtant. Si quis eſt igitur apud vos dicendi locus iis, qui mediocti & vulgati dicendi facultate inſtructi ſunt: dicere aggredior, nihil quod ad cauſam hanc fa-
C ciat, ſtudij ac diligentiæ prætermittens. Incipiam autem hinc.

Incomparabili, ô Vitgines, cognatáque atque affini ſapientiæ inſignitæ formâ in mundum venimus. Exactè enim li-
D neamenta referunt, eius qui creauit & formauit eas, animæ, tunc cùm eius exemplaris puriſſimi ad quod intuens Deus in immortalem eas naturam edidit, ſplendore mirabili circumfuſæ, pulchritudinem illam intaminatam obtinent, quam ortu primo acceperunt ab autoris manu. Ingenitum enim & incorporeum pulcrum, & neque incipiens, neque deſinens, ſed immutabile, ſenij expers, defectu laborans nullo, ipſe in ſeipſo, & in ipſum lumen in ineffabilibus & inacceſſibilibus requieſcens poteſtatibus, abundantiâ omnia

A complectens, & creans, & immutans, fabricauit ad imaginem imaginis ſuæ animam: quæ inde rationalis & immortalis, ad imaginem quippe condita vnigeniti, vt dixi, incomparabilem habet pulcritudinem. Quare ſpiritualia nequitiæ depereunt eam, & quò illa potiantur, inſidias ſtruunt: polluere ſumma vi conantia B Deiformem eius illam & amabiliſſimam ſpeciem. Vti & Propheta Ieremias indicat, exprobrans Ieruſalem: *Frons meretricis facta eſt tibi, noluiſti erubeſcere in conſpectu amatorum tuorum.* De ea loquens, quæ ſeipſam proſtituit aduerſariis poteſtatibus in contaminationem. Amatores enim ſunt diabolus, & angeli eius, rationalem no- C ſtram & perſpicacem intelligentiæ pulcritudinem polluere & inquinare ſui commiſtione machinantes, & adulteri eſſe cupientes omnis Deo deſponſatæ animæ. Si ergo inuiolatam cuſtodiat quis & immaculatam iſtam pulcritudinem, omnino talem qualem qui condidit & expinxit ipſam, delineauit, D æternam & intelligentem imitans naturam cuius & character eſt homo, & expreſſa effigies, factus velut ſimulacrum pulcherrimum & ſacrum: hinc tranſlatus in Beatorum ciuitatem cælos, ibi velut in templo ad perpetuam moram collocabitur. Incontaminata porrò noſtra pulcritu-

Ier. 3. 3.

περιέχων, καὶ κτίζων, καὶ μετασκευάζων, ἐτεκτήνατο κατ' εἰκόνα τῆς εἰκόνος ἑαυτοῦ τὴν ψυχήν. διὸ καὶ λογικὴ καὶ ἀθάνατός ἐστι· κατ' εἰκόνα γὰρ δημιουργηθεῖσα τοῦ μονογενοῦς, ὡς ἔφην, ἀνυπέρβλητον ἔχει κάλλος· διὸ δὴ καὶ τὰ πνευματικὰ τῆς πονηρίας, ἐρῶσιν αὐτῆς, καὶ ἐφεδρεύουσι, χραίνειν βιαζόμενα τὴν θεοείκελον αὐτῆς ἐκείνην καὶ ἐπέραστον ἰδέαν· ὥσπερ δὴ καὶ ὁ προφήτης Ἱερεμίας παρίστησιν, ὀνειδίζων Ἱερουσαλήμ· ὄψις πόρνης ἐγένετό σοι, ἀπηναισχύντησας ἀπέναντι τῶν ἐραστῶν σου· τὴν παραδοῦσαν ἑαυτὴν ταῖς ἀντικειμέναις δυνάμεσιν εἰς βεβήλωσιν, λέγων. ἐρασταὶ γάρ εἰσιν ὁ διάβολος, καὶ οἱ περὶ αὐτὸν ἄγγελοι, οἱ τὸ λογικὸν ἡμῶν καὶ διορατικὸν τῆς φρονήσεως κάλλος μιαίνειν καὶ μολύνειν τῇ ἑαυτῶν ἐπιμιξίᾳ τεχναζόμενοι, καὶ μοιχοὶ γενέσθαι πάσης τῆς τῷ κυρίῳ νενυμφευμένης ἐπιθυμοῦντες ψυχῆς. ἐὰν οὖν ἀμόλυντον τοῦτο τηρήσῃ τις τὸ κάλλος καὶ ἀσινὲς, καὶ τοιοῦτον, ὁποῖον αὐτὸς ὁ συστησάμενος αὐτὸ καὶ ζωγραφήσας ἀπετύπωσε, τὴν αἰώνιον ἀπομιμησάμενος φύσιν καὶ νοητὴν, ἧς καὶ χαρακτήρ ἐστιν ὁ ἄνθρωπος καὶ ἀπεικόνισμα, γεγονὼς οἷον ἄγαλμά τι περικαλλέστατον καὶ ἱερόν· ἐντεῦθεν μετενεχθεὶς εἰς τὴν μακάρων πόλιν τῶν οὐρανῶν, ὥσπερ ἐν ναῷ κατοικισθήσεται· ἄχραντον γὰρ τὸ κάλ-

λος ἡμῖν ἄριστα τότε τηρεῖται καὶ A ἀσφαλῶς, ὁπότ᾽ ἂν παρθενίᾳ σκεπόμενον, ὑπὸ τοῦ καύσωνος ἔξωθεν μὴ μελαίνηται τῆς φθορᾶς, ἀλλ᾽ αὐτὸ ἐφ᾽ ἑαυτοῦ μένον δικαιοσύνῃ κοσμῆται, νυμφαγωγούμενον τῷ υἱῷ τοῦ θεοῦ· ὃν τρόπον δὴ καὶ αὐτὸς εἰσηγεῖται, χρῆναι παραινῶν ὥσπερ ἐν λαμπάσι, ταῖς σφετέραις σαρξὶ, τὸ φῶς ἀνα- B καίεσθαι τῆς ἁγνείας· ἐπειδήπερ ὁ τῶν δέκα παρθένων ἀριθμὸς, τὰς εἰς Χριστὸν πεπιστευκυίας ἀριθμεῖσθαι βούλεται ψυχὰς, τῷ δέκα, τὴν ἀπευθύνουσαν μόνην ὁδὸν εἰς τοὺς οὐρανοὺς ἀποτυπούμενος. ἀλλ᾽ αἱ μὲν πέντε ἔμφρονες ἐτύγχανον ἄρα καὶ σοφαί· αἱ δὲ πέντε μωραὶ καὶ ἄσοφοί τινες· οὐ γὰρ ἐ- C προμηθεύσαντο ἐλαίου σφῶν τὰ ἀγγεῖα πλήρη παρασκευάσαι, δικαιοσύνης ἀπομείνασαι κεναί· αἰνίσσεται γὰρ διὰ τούτων τὰς ἐπὶ πέρατα παρθενίας ἐπισπερχομένας ἐλθεῖν, καὶ πάντα εἰς τὸ πληρωθῆναι συντείνοντα τὸν ἔρωτα τοῦτον κοσμίως δρώσας καὶ σωφρόνως· καὶ τὰς ἐπαγγελλομένας μὲν καὶ σεμ- D νυνομένας τοῦτο σκοπεῖν, ὀλιγωρούσας δὲ καὶ ἡττωμένας τοῦ κόσμου ταῖς ἐξαλλαγαῖς, καὶ ὥσπερ σκιαγραφούσας μᾶλλον εἴδωλον ἀρετῆς, ἢ αὐτὴν ἐργαζομένας ἔμπνουν τὴν ἀλήθειαν. τὸ γὰρ λεγόμενον, ὡμοιῶσθαι τὴν βασιλείαν τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες ἐλα-

do, tunc optimè cuſtoditur & ſecurè, quando à Virginitate protecta, ab exteriori corruptionis æſtu infuſcata non fuerit, ſed ipſa in ſeipsâ permanens, otnatu compta iuſtitiæ, in ſponſam acceſſerit Filio Dei: quemadmodum ipſe inſinuat, oportere admonens in noſtris corporibus velut in lampadibus, lucem accendi caſtitatis. ſiquidem decem Virginum numerus, multitudinem exptimit ctedentium in Chriſtum animarum, denarij notâ numeri rectam in cœlos viam, quæ vna ſolùm eſt, efformans. Verùm earum quinque cordatæ ac ſapientes erant: quinque autem ſtultæ ac fatuæ. Non enim prouiderunt ſibi oleum, quo implerent vaſa ſua, iuſtitiâ vacuæ manentes. Per has enim, deſignat eas, quæ ſtrenuè currunt vt ad Virginitatis regionem perueniant, & quæ ad hunc amorem explendum attinent, honeſtè ac ſobriè peragunt omnia: & eas, quæ id ſpectare ſe vnum, eóque glotiari, palam præ ſe ferunt, remittunt verò poſtea diligentiam, & ſuperari ſe ſinunt viciſſitudinibus mundi; ac quaſi virtutis ſimulacrum primis ſolùm & rudibus lineamentis deformant; non autem viuam ipſam ſpitantémque in ſe ipſis elaborant. Quod enim dicitur ſimile eſſe regnum cælorum decem Virginibus, quæ accepe-

runt lampades ſuas & exierunt obuiam ſponſo, ſignificat eandem ab omnibus propoſiti ac profeſſionis viam electam, deſignatam per literam, Ī, denarij numeri indicem. Dederunt enim pariter ſe ſe omnes in ſocietatem vnius quaſi peregrinationis, eundem profitentes ſe ſcopum ſequi, ideóque dicuntur decem, quòd idem vltrò vniuerſæ vitæ genus ſectámque ſuſceperint. Non verò pariter etiam omnes exierunt in occurſum ſponſi. Nam earum quidem aliquæ alimentum in tantâ copiâ quanta in longum poſt tempus ſuperaret, largè ac prouidè ſuggeſſerant ſuis lampadibus oleo flammam alentibus: aliæ verò neglexerunt futuri curam, in præſens conſulere contentæ. Quare in pares numeros denario diuiſo, in quinarios ſeparantur duos: quòd videlicet quinque ſenſus, quos plerique ſapientiæ portas appellarunt, puras & virgines à peccatis hæ quidem ſeruauerunt; illæ verò contra magno numero iniuſtorum operum corruperunt, fermentantes eos malitiâ. Temperantes enim & velut continentes à iuſtitiâ, feraces fuerunt delictorum. vnde & contigit diuinis eas ſeptis meritò excluſas eiici. Nam ſenſuum ea vis eſt, vt ſiue rectè agimus, ſiue peccamus, ex æquo tam bona quàm praua opera in effectum perduci ſine ipſis nequeant. Et vt Thalluſa dixit oculorum Virginitatem eſ-

A βον τὰς λαμπάδας αὐτῶν, καὶ ἐξῆλθον ἀπαντήσουσαι τῷ νυμφίῳ, σημαίνειν βούλεται τὴν αὐτὴν ὁδὸν τοῦ ἐπιτηδεύματος ἐπανῃρημένην διὰ τὴν ἔμφασιν τοῦ Ī στοιχείου. ἐστείλαντο μὲν γὰρ αἱ παραπλησίως ἑαυτὰς εἰς τοῦτο καθομολογήσασαι, καὶ ταύτῃ κικλήσκονται δέκα, ἐπειδὴ τὴν αὐτὴν,
B ὡς ἔφην, εἵλοντο πρόθεσιν, οὐκ ἔτι δὲ ὁμοίως ἐξῆλθον ὑπαντήσουσαι τῷ νυμφίῳ· αἱ μὲν γὰρ τροφὴν ἄφθονον καὶ εἰσαῦθις ἐπορίσαντο τοῖς ἐλαιοθρέπτοις λαμπάσιν· αἱ δὲ κατερραθύμησαν, τοῦ παρόντος μόνου ἐπιμεληθεῖσαι. διὸ δὴ καὶ ἰσαρίθμοις πρὸς πέντε διαιροῦνται, ἐπειδήπερ τὰς πέντε αἰσθήσεις, αἱ
C μὲν αὐτῶν ἐφυλάξαντο καθαρὰς, καὶ παρθένους ἁμαρτημάτων, ἃς οἱ πλεῖστοι σοφίας προσηγόρευσαν πύλας· αἱ δὲ τοὐναντίον πλήθεσιν ἀδικημάτων ἐλωβήσαντο, φυράσασαι κακίᾳ· ἐγκρατευσάμεναι γὰρ καὶ ἀγνεύσασαι δικαιοσύνης, εὐφόρησαν μᾶλλον παραπτώμασιν, ἐξ
D οὗ δὴ καὶ συνέβη τῶν θείων ἔξω περιβόλων ἀποκλεισθείσας ἀπαγορευθῆναι· εἴτε γὰρ κατορθοῦμεν, εἴτε πλημμελοῦμεν, διὰ τούτων ἑκάτερα καὶ τὰ ἀνδραγαθήματα κρατύνεται, καὶ τὰ κακοπραγήματα· καὶ ὥσπερ ἡ Θάλλουσα καὶ ὀφθαλμῶν ἔφη, καὶ ὤτων ἀ-

γνείαν ἐστὶ καὶ γλώσσης, καὶ τῶν λοιπῶν A καθεξῆς αἰσθητηρίων· οὕτω δὴ καὶ ἐνταῦθα τὴν πίστιν ἄσυλον ἡ φυλαξαμένη τῶν πέντε διόδων τῆς ἀρετῆς, ὁράσεως, γεύσεως, ὀσφρήσεως, ἁφῆς τε, καὶ ἀκοῆς, πέντε προσαγορεύεται παρθένοι, διὰ τὸ τὰς πέντε τῆς αἰσθήσεως ἁγνὰς ἀποκαταστῆσαι τῷ Χριστῷ φαντασίας, ἀφ᾽ ἑκάστης αὐτῶν οἷα λαμπτὴρ τὴν ὁσιό- B τητα λάμπουσα τρανῶς. ἡ γὰρ πεντάφωτος ἡμῶν ὡς ἀληθῶς λαμπὰς ἡ σάρξ ἐστιν, ἣν ἡ ψυχὴ βαστάζουσα δᾳδὸς δίκην, τῷ νυμφίῳ παρίσταται Χριστῷ τῇ ἡμέρᾳ τῆς ἀναστάσεως παραφαίνουσα διὰ πασῶν τῶν αἰσθήσεων διεκθρώσκουσαν λαμπρὰν τὴν πίστιν, καθὼς αὐτὸς ἐδίδαξεν εἰπών· πῦρ ἦλθον βα- C λεῖν εἰς τὴν γῆν καὶ τί ἤθελον εἰ ἤδη ἀνήφθη; γῆν ἡμῶν τὰ σκηνώματα φράσας εἰς ἃ ἐβούλετο ταχέως ἀναφθῆναι τὴν ὀξυκίνητον τῆς διδασκαλίας αὐτοῦ καὶ διάπυρον πρᾶξιν· τὸ γὰρ ἔλαιον τῇ σοφίᾳ καὶ τῇ δικαιοσύνῃ παραβλητέον. ἀνομβρούσης γὰρ ταῦτα τῆς ψυχῆς ἀφθόνως, καὶ ἐπιχεούσης τῷ σώματι, εἰς ὕ- D ψος ἀναφλέγεται τῆς ἀρετῆς ἄσβεστον τὸ φῶς, ἔμπροσθεν τῶν ἀνθρώπων ἐκλάμπον τὰς πράξεις τὰς καλὰς, ὥστε δοξασθῆναι τὸν πατέρα τὸν ἐν τοῖς οὐρανοῖς. τοιοῦτον ἔλαιον ἄρα κἀκεῖνοι προσέφερον ἐν τῷ Λευιτικῷ, ἄτρυγον ἔλαιον, καθαρὸν, κεκομμένον, καύ-

A ſe quandam, item aurium, & linguæ, reliquorúmque conſequenter ſenſuum: ita & hîc quæ fidem inuiolatam ſeruauerit quinque meatuum virtutis, viſûs, guſtûs, odoratûs, tactûs, & auditûs, vna licèt, quinque Virgines nuncupatur, quòd per quinque quaſi foramina quinque ſenſuum, intus con- B ceptam ſanctitatis lucem euibrans, ſplendidam & Chriſto iucundam exhibeat ſpeciem quintuplicium quaſi radiorum. Lucerna ſcilicet & lampas velut quædam quinque micans luminibus, caro noſtra eſt: quam geſtans anima velut facem ſponſo præfert Chriſto, in die reſurrectionis magnificè oſtentans fulgurantem ex C cunctis ſenſibus ſplendidam fidem. Sicut ipſe docuit dicens: *ignem veni mittere in terram: & quid volo niſi vt accendatur?* Terram corpora noſtra appellans, intra quæ vult celeriter accendi, citò mobilem doctrinæ eius & inflammatam operationem. Olei autem ſymbolo ſapientiam & iuſtitiam deſignari intelligendum D eſt. Nam hæc dum largè ſuppeditat anima & affundit corpori, altè inflammatum aſſurgit inextinguibile virtutis lumen, oſtendens coram hominibus opera bona, vt glorificetur Pater qui eſt in cælis. Tale videlicet oleum & illi offerebant in Leuitico, *defæcatum oleum, purum, expreſſum, vt ar-* Leu.24.2.

deat lucerna extra velum ante Dominum. Sed illis quidem breuiſſimum lumen mandatum erat curate à veſperâ ad mane. Quare candelabrum ipſorum, quod alebatur operibus & fide populi, rectè videtur poſſe comparari ſermoni prophetico, liberam profitendæ caſtitatis fiduciam oſtentanti. Templum verò in quo candelabrum lucebat, benè refertur ad funiculum hereditatis. Siquidem candelabrum in vna ſolùm domo lucere poteſt. Ante diem igitur oportebat hoc accendi candelabrum. *Accendent* enim *illud* ait *vſque mane.* hoc eſt vſque ad aduentum Chriſti: quoniam ſole Virginitatis & iuſtitiæ iam exorto, non eſt opus candelabro. Quanto igitur tempore populus ille congeſſit alimenta flammæ candelabri huius, ſuppeditans oleum per opera, lampas ipſis caſtitatis extincta non eſt: ſed erat lucens ſemper, & reſplendens, [a] in funiculo hereditatis. quando verò defecit oleum, à fide ipſis in petulantiam verſis, candelabrum prorſus lucere deſiit. Per iſtam verò noctem reſplenduerunt continuâ ſucceſſione productæ lampades Virginum, cælitus mundo velut ſalutarem lucem incorruptionem inferentium. Suppeditare igitur & nunc continuè oportet defæcatum oleum bonorum operum, & prudentiæ, ab omni

[a] *hoc eſt, in populo Hebræo.*

A σαι λύχνος ἔξω τοῦ καταπετά-
σματος ἔναντι κυρίου· ἀλλ' ἐκεί-
νοις μὲν βραχύτατον φῶς προσ-
ετέτακτο θεραπεύειν ἀφ' ἑσπέρας
εἰς ἕω· ὁ γάρ τοι λύχνος αὐτῶν
ἔοικεν εἰκάζεσθαι τῷ λόγῳ τῷ προ-
φητικῷ, τὴν ἐπὶ σωφροσύνην φαί-
νοντι παῤῥησίαν, τρεφόμενος ἀπὸ
τῶν πράξεων καὶ τῆς πίστεως τοῦ
B λαοῦ· ὁ δὲ ναὸς τῷ σχοινίσματι
τῆς κληρονομίας. ἐπειδήπερ λύχνος
περὶ οἶκον ἕνα μόνος δύναται
φαίνειν· πρὸ τῆς ἡμέρας οὖν ἐ-
χρῆν τοῦτον καίεσθαι τὸν λύχνον·
καύσουσι γὰρ αὐτόν, φησι, ἕως
πρωΐ, τουτέστιν, ἕως παρουσίας
τοῦ Χριστοῦ· ὅτι τοῦ ἡλίου τῆς ἁ-
γνείας ἀνατείλαντος, καὶ τῆς δι-
καιοσύνης, οὐ χρεία λύχνου· ὅ-
C σον μὲν οὖν ὁ λαὸς ἐκεῖνος χρό-
νος ἀπεθησαύριζε τὰ τρέφοντα
τὸν λύχνον, ἐπιχορηγῶν τὸ ἔλαιον
διὰ τῶν ἔργων, ὁ λύχνος αὐτοῖς
οὐκ ἔσβεστο τῆς σωφροσύνης, ἀλλ'
ἦν φαινόμενος ἀεί, καὶ λάμπων ἐν
τῷ σχοινίσματι τῆς κληρονομίας· ὅτε
δὲ ἐπέλιπε τὸ ἔλαιον, ἀπὸ τῆς πί-
D στεως εἰς ἀκολασίαν αὐτῶν ἐκτρα-
πελιζομένων, ὁ λύχνος ἄρδην
ἀπεσβέσθη· ἵνα δὴ πάλιν ἐξαστρά-
ψωσι τὰς λαμπάδας ἐπαλλήλοις
διαδοχαῖς, ἄνωθεν αἱ παρθένοι τῷ
κόσμῳ πυρσεύουσαι τὴν ἀφθαρσίαν·
χορηγητέον οὖν δὴ τὸ ἄτρυγον ἔ-
λαιον, καὶ νῦν, τῶν καλῶν ἔργων ἀ-
δεῶς, καὶ τῆς συνέσεως, πάσης

κάτω βριθούσης ἀφυλισμένον A φθορᾶς· ἵνα μὴ χρονίσαντος τοῦ νυμφίου, σβεσθῶσιν ὁμοίως καὶ ἡμῶν αἱ λαμπάδες. ὁ γάρ τοι χρονισμός ἐστι τὸ περὶ τῆς παρουσίας διάστημα τοῦ Χριστοῦ· ὁ δὲ νυσταγμὸς καὶ ἡ κοίμησις τῶν παρθένων, ἡ ἔξοδος ἀπὸ τοῦ βίου· τὸ δὲ μεσονύκτιον, ἡ βασιλεία τοῦ ἀντιχρίστου, καθ᾽ ἣν ὁ ὀλοθρευτὴς ἄγγελος ἐπιπορεύεται τὰς οἰ- B κίας· ἡ δὲ κραυγή, ἡ γεγενημένη καὶ λέγουσα, ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ· ἐστιν ἡ φωνὴ ἡ ἀπὸ τῶν οὐρανῶν, καὶ ἡ σάλπιγξ· ὁπότε πάντων ἐξαναστάντων αὐτοῖς οἱ ἅγιοι τῶν σωμάτων, ἐπὶ νεφελῶν ὀχήσονται εἰς τὴν ἀπάντησιν ἁρπασθέντες τοῦ κυρίου. προσεκτέον γάρ, ὅτι μετὰ τὴν κραυγὴν ἐγη- C γέρθαι πάσας ἔφη τὰς παρθένους ὁ λόγος, τουτέστι μετὰ τὴν ἐκ τῶν οὐρανῶν ἐνεχθεῖσαν βοήν, ἀναστήσεσθαι τοὺς νεκρούς· ὥς που καὶ Παῦλος παρεγγυᾷ, ὅτι αὐτὸς ὁ κύριος, λέγων, ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι θεοῦ καταβήσεται ἀπ᾽ οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον, τουτ- D έστι τὰ σκηνώματα, ἐνεκρώθησαν γὰρ ἀπαμφιασθέντα τῶν ψυχῶν· ἔπειτα ἡμεῖς οἱ ζῶντες, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα, τὰς ψυχὰς λέγων· ἡμεῖς γὰρ κυρίως οἱ ζῶντες ἐσμὲν αἱ ψυχαί, αἵτινες μετὰ τῶν σωμάτων ἀπειληφυῖαι ταῦτα, ἐν νεφέλαις ἀπαντησόμεθα, τὰς λαμπάδας φέρουσαι κεκοσμημένας οὐκ ἀλλοτρίῳ καὶ κοσμικῷ κόσμῳ τινί, ἀλλὰ τῷ φρονή-

A deorſum grauante purgatum corruptione : ne moram faciente ſponſo extinguantur ſimiliter & noſtræ lampades. Mora videlicet ſponſi, eſt ſpatium quod hinc ad Aduentum Chriſti vltimum intercedit. Dormitatio verò & ſomnus Virginum, exitus è vitâ. Nox autem media, regnum Antichriſti, quando exterminator B Angelus tranſibit per domos. Clamor verò : *Ecce ſponſus venit exite obuiam ei*, eſt vox de cælis, & tuba, quando ſanctis omnibus ſua corpora reſuſcitata recipientibus, vniuerſi pariter nubibus inuehentur in occurſum rapti Domini. Obſeruandum enim eſt, poſt clamorem exurrexiſſe dici omnes Vir- C gines : hoc eſt, poſt vocem è cælis demiſſam reſurrecturos mortuos : quemadmodum & Paulus tradit : *Ipſe Dominus*, inquiens, *in iuſſu & in voce Archangeli, & in tubâ Dei deſcendet de cælo : & mortui qui in Christo ſunt reſurgent primi*: hoc eſt corpora : mortem enim illa ſubierunt, amiſſis animabus. D *Deinde nos qui viuimus, ſimul rapiemur cum illis*. Animas ſignificans. Nos enim qui propriè viuimus, ſumus Animæ, quæ cum corporibus, iis reſumptis, in nubibus occurremus, lampadas ferentes ornatas non alieno & mundano quopiam ornatu, ſed pruden-

1 ad Theſ. 4.16.

tiæ & caſtitatis, aſtrorum ritu latè iubar vibrantium, æthereo ſplendore pleniſſimum. Hæc noſtrorum, ô pulcræ Virgines, orgia myſteriorum ſunt. Hæc illorum, quæ in Virginitatis operto celebrantur, arcanæ cerimoniæ ſacrorum. Ea præmia immaculatorum certaminum caſtitatis. Deſponſor Verbo, & æternam incorruptionis dotem accipio coronam & diuitias à Patre, & per ſæcula triumphum duco ſplendidis & immarceſcibilibus ſapientiæ floribus coronata. Choreas ago cum palmam ferente Chriſto per cælum, circa principio carentem & ab omni exitio ſecurum Regem, inacceſſibilium facta luminum lucifera. Canto nouum in ſodalium cœtu mearum canticum Archangelorum, nouam gratiam enuncians Eccleſiæ. Sequi enim Dominum ſemper multitudinem Virginum, & vbicumque fuerit verbum beatos ſuos ab illis frequentari cœtus, vnus ex ipſis Ioannes clamat: arcanè id in centum quadraginta quatuor millium mentione ſignificans. Ite ergo, ô recentium ſeculorum felix ac florens Virginum corona: ite, vaſa implete veſtra iuſtitiâ. Hora enim ecce eſt exurgendi, & occurrendi ſponſo. Ite, blanditias vitæ pellaces, & illecebroſa incantamenta circumagentia, peruertentiáque animas, aure ſurdâ prætergreſſæ.

A σεως καὶ σωφροσύνης ἀστέρων δίκην ἀποστιλβόντων σέλας, αὐγῆς αἰθερίου πεπληρωμένον. ταῦτα τὰ ἡμέτερα, ὦ καλλιπάρθενοι, τὰ ὄργια μυστηρίων· αὗται τῶν ἐν παρθενίᾳ μυσταγωγηθέντων αἱ τελεταί· ταῦτα τὰ ἐπίχειρα τῶν ἀμιάντων ἄθλων τῆς σωφροσύνης· νυμφεύομαι τῷ λόγῳ, καὶ τὸν αἰ-
B διον τῆς ἀφθαρσίας προῖκα λαμβάνω στέφανον, καὶ πλοῦτον, παρὰ τοῦ πατρός· καὶ ἐν τοῖς αἰῶσι στεφανηφοροῦσα πομπεύω λαμπρὰ καὶ ἀμάραντα τῆς σοφίας τὰ ἄνθη· συγχορεύω βραβεύοντι τῷ Χριστῷ κατ' οὐρανὸν, ἀμφὶ τὸν ἄναρχον καὶ ἀνώλεθρον βασιλέα· ἀδύτων γέγονα λαμπαδηφόρος φώτων,
C καὶ ἐφυμνῶ τὸ καινὸν μετὰ τῆς ὁμηγύρεως ᾆσμα τῶν ἀρχαγγέλων, τὴν καινὴν χάριν ἐξαγγέλλουσα τῆς ἐκκλησίας· συνέπεσθαι γὰρ ἀεὶ τὸν ὅμιλον τῶν παρθένων τῷ κυρίῳ, καὶ συνθιασωτεύειν ἔνθα ἂν εἴη, λόγος ἤχει. τούτων εἷς Ἰωάννης, καὶ ἐν τῇ τῶν ἑκατὸν χιλιάδων καὶ τεσσαρά-
D κοντα καὶ τεσσάρων αἰνίσσεται μνήμη. ἴτε οὖν, ὦ νεολαία τῶν καινῶν αἰώνων· ἴτε, ἀγγεῖα πληρώσατε σφῶν δικαιοσύνης· ὥρα γὰρ λοιπὸν ἐξεγείρεσθαι, καὶ ὑπαντιάζειν τῷ νυμφίῳ· ἴτε, τὰς ἴυγγας, καὶ τὰ θέλγητρα κωφῶς παραμείψασαι τοῦ βίου, τὰ περιδινοῦντα καὶ γοητεύοντα τὴν ψυχήν·

πτύξεσθε

A τεύξεσθε γὰρ τῶν ἐπαγγελμάτων, καὶ μὰ τὸν ἁμετέρας ζωᾶς δείξαντα κέλευθον. Σοὶ τόνδε προφητείαις πλεκτὸν στέφανον ἐκ τῶν προφητικῶν λειμώνων, ὦ Ἀρετή, κἀγὼ κοσμήσασα προσφέρω.

Conſequemini profectò quæ promiſſa ſunt vobis.

Hoc per eum, qui monſtrat iter mihi, iuro, ſalutis.

Hanc tibi Prophetiis textam coronam, ex propheticis collectam pratis, ô Arete, & ego à me concinnatam offero.

ΠΡΟΚΙΛΛΑ.

ΛΟΓΟΣ ζ'.

B ΔΙΑΠΕΡΑΝΑΜΕΝΗΣ οὖν ἄριστα καὶ Ἀγάθης, ἔφη, τὸν λόγον, καὶ εὐδοκιμησάσης ἐφ' οἷς ἰσηγόρησε, πάλιν ἡ Ἀρετὴ τὴν Προκίλλαν ἐκέλευσε λέγειν. ἡ δὲ ἀναστᾶσα καὶ ἔμπροσθεν παρελθοῦσα τῆς κλισιάδος, ἔλεξε τοιάδε.

C Ἀποῤῥαθυμεῖν καὶ μετὰ τοσούτους οὐ θέμις μοι λόγους, ὦ Ἀρετή, ἀναμφισβητήτως πεπιστευκυίᾳ τῇ πολυποικίλῳ σοφίᾳ τοῦ Θεοῦ, πλουσίως ἐχούσῃ διδόναι, καὶ διαφόρως, ὅπῳ βούλεται· καὶ γὰρ πελάγιοι πλωτῆρές φασι, φέρεσθαι μὲν τοῖς ναυτιλλομένοις τὸ αὐτὸ πνεῦμα· ἄλλους δὲ τὰ περὶ τὸν D πλοῦν ἀλλοίως αὐτῶν μεταχειριζομένους, οὐκ εἰς τὴν αὐτὴν εἰσορμίσασθαι σπεύδειν· οἷς μὲν γὰρ τὸ πνεῦμα κατὰ πρύμνης οὔριον ἵσταται· τοῖς δὲ καὶ ἐξ ἐγκαρσίων φέρει· καὶ ὅμως ἑκατέροις ὁ πλοῦς ἀνύεται ῥᾷστα.

PROCILLA.

ORATIO VII.

VBI ſic optimè Agatha peroraſſet, & magnam vniuerſi conſeſſus laudem tuliſſet, Arete Procillam iuſſit dicere. Illa verò ſurgens, & ante oſtium tabernaculi progreſſa, in hunc modum locuta eſt.

Cunctari me, & ad dicendum pigram eſſe, etiam poſt tot taléſq; ſermones, nefas, ô Arete, ſit; vtique fretam non fruſtra ſperando auxilio multiformis ſapientiæ Dei, pronam in promptu habentis facultatem communicandæ ſui copioſè ac variè cuicunque vult. Aiunt enim qui maritimarum nauigationum experientiam habent, aſpirare quidem nauigantibus vnum eundémque ventum: horum verò alios aliter nauigationem ſuam regentes, non eandem in regionem vt appellant contendere. Nempe aliis à puppi ferens in directum afflat aura; alios à latere licèt impellens, tamen obliquatis ſcitè velis prouehit: vtriſque eiuſdem ope curſum facilè peragentibus.

Quo exemplo nobis quoque varias quaſi diſſerendi regiones de vno argumento ſequentibus idem vnus intelligens, Sanctus, Vnicus, à paternis ſuperne leniter aſpirans theſauris ſapientiæ Spiritus, afflabit omnibus ſuaue ſibilantem & rectà ferentem auram intelligētiæ, quæ dirigendo ſine labore orationis curſui ſufficiat. Ego meæ, tali fiduciâ inchoandæ, moram nullam facio. Vnus is demum verus, ac grauis laudandi modus eſt, ô Virgines, quando laudans & re quæ laudatur, & cæteris quæ laudantur omnibus, longè præſtantiorem ſuæ laudationis teſtem exhibet. Inde ſiquidem clarè licet intelligere, neque ad gratiam, neque ex neceſſitate, neque iuxta incertam opinionem vulgi, laudationem eſſe compoſitam: ſed exactum ad veritatem continere, miniméque ſuſpectum de adulatione iudicium. Enimuero qui de Filio Dei, iam tum ante ſæcula exiſtente, pleniùs ac diſertiùs Prophetæ Apoſtolíque diſputarunt, & diuinam eius præ cæteris hominibus naturam demonſtrarunt, non vtique Angelos autores eorum quæ illi tribuebant laudum allegarunt: ſed ex ipsâ protinus vnde apta pendent omnia dictis ſuis autoritatem arceſſiuerunt. Decebat enim vt omnibus, poſt Patrem, aliis maior, eo teſte vteretur, qui ſolus ipſo maior eſt. Et ego eorum quæ magnificè de Virginitate ſplendidéque dictura ſum, non homines producam autores, ſed eum cui

A ἀτὰρ δὴ καὶ τὸ τῆς σοφίας νοερὸν πνεῦμα, καὶ ἅγιον, καὶ μονογενὲς, ἀπὸ τῶν πατρῴων ἄνωθεν περάως καταπνεόμενον θησαυρῶν, πάσαις ἡμῖν λιγυρὸν οὖρον πνεῦσαν γνώσεως, ἐπαρκέσει τὸν δρόμον ἀλύπως ἀπευθύναι τῶν λόγων· ἐμοὶ γὰρ καιρὸς
B ἤδη λέγειν· εἷς τρόπος ἀληθὴς ἐπαίνων οὗτός ἐστιν, ὦ Παρθένοι, καὶ σεμνὸς, ὁπόταν ὁ ἐπαινῶν, τοῦ ἐπαινουμένου, καὶ τῶν ἐπαινουμένων ἁπάντων κρείττονα παρέχῃ μάρτυρα· πάρεστι γὰρ ἐντεῦθεν μαθεῖν ἀκριβῶς, ὅτι μὴ πρὸς χάριν, μηδὲ ἐξ ἀνάγκης, μηδὲ κατὰ δόξαν, ἡ εὐφημία γίνε-
C ται τῶν λόγων· ἀλλὰ κατὰ ἀλήθειαν καὶ ἀθώπευτον κρίσιν. καὶ γὰρ οἱ πληρέστερον εἰσηγησάμενοι περὶ τοῦ υἱοῦ τοῦ Θεοῦ, τοῦ πρὸ αἰώνων, προφῆται καὶ ἀπόστολοι, καὶ μᾶλλον αὐτὸν τῶν ἄλλων θεολογήσαντες ἀνθρώπων, οὐκ εἰς ἀγγελικὴν ἀνήγαγον αὐτῷ ῥῆσιν τοὺς ἐπαίνους,
D ἀλλ' εἰς αὐτὸν τὸν ἀνημμένον πάντων τὸ κῦρος καὶ τὸ κράτος. ἦν γὰρ ἐμπρεπὲς, τὸν ἁπάντων μείζονα τῶν ἄλλων μετὰ τὸν πατέρα, μόνῳ τῷ ἑαυτοῦ μείζονι χρήσασθαι μάρτυρι. καὶ δὴ καὶ τῆς ἁγνείας οὐκ εἰς ἀνθρωπίνην ἀνοίσω κἀγὼ δόξαν τοὺς ἐπαίνους, ἀλλ' εἰς αὐτὸν

ᾧ μέλομεν, καὶ ὃς τὸ πᾶν αἰήρηται, γεωργὸν αὐτῆς ἀποδεικνύουσα τοῦτον, καὶ ἐραστὴν τῆς ὥρας ὄντα, καὶ ἀξιόχρεων μάρτυρα· καὶ τοῦτο καὶ ἐν τῷ τῶν ᾀσμάτων ᾄσματι παρέστησε διαῤῥῆσαι τῷ βουλομένῳ φανερῶς, ἔνθα αὐτὸς ὁ Χριστὸς τὰς ἐν παρθενίᾳ παγίως καταγεγυμνασμένας ἐγκωμιάζων, φησί· ὡς κρίνον ἐν μέσῳ ἀκανθῶν, οὕτως ἡ πλησίον μου ἐν μέσῳ τῶν θυγατέρων· κρίνῳ παρεικάζων διὰ τὸ καθαρὸν, καὶ εὔπνουν, καὶ ἡδὺ, καὶ ἱλαρὸν, τὸ χάρισμα τῆς ἁγνείας· ἐαρινὸν γὰρ ἡ ἁγνεία, καὶ ἐπανθοῦν ἁβρῶς ἀεὶ λευκοῖς τοῖς κάλυξι τὴν ἀφθαρσίαν· ὅθεν δὴ καὶ ἐρᾶν τοῦ κάλλους τῆς ἀκμῆς αὐτῆς, ὁμολογεῖν οὐκ ἐπαισχύνεται· ἐκαρδίωσας ἡμᾶς, ἐν τοῖς ἑξῆς, ἀδελφή μου νύμφη, λέγων, ἐκαρδίωσας ἡμᾶς ἑνὶ ἀπὸ ὀφθαλμῶν σου, ἐν μιᾷ ἐνθέματι τραχήλου σου, ὅτι ἐκαλλιώθησαν μασθοί σου, καὶ ὀσμὴ ἱματίων σου ὑπὲρ πάντα τὰ ἀρώματα· κηρίον ἀποστάζουσι χείλη σου, νύμφη· μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσάν σου, καὶ ὀσμὴ ἱματίων σου ὡς ὀσμὴ λιβάνου. κῆπος κεκλεισμένος ἀδελφή μου νύμφη, κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη· ταῦτα Χριστὸς ταῖς ἐπὶ πέρατα παρθενίας ἐλθούσαις τὰ ἐγκώμια ψάλλει, πάσας ἑνὶ περιγράψας

A curæ ſumus, excellentiſſimum rerum omnium Principem Deum, à quo & Virginitatem excoli, eiúſque ſpeciem adamari demonſtrabo: eum, inquam, laudum Virginitatis idoneum vtique teſtem proferam. Nam ſuam ea de re ſententiam perſpicuè cuiuis cognoſcere volenti declaratam expoſuit in Cantico Canticorum, vbi Chri-
B ſtus ipſe animas in Virginitatis propoſito conſtantes commendans, ait: *Sicut lilium in medio ſpinarum, ſic proxima mea in medio filiarum.* Cant. 2. Lilio comparans propter puritatem, fragrantiam, ſuauitatem, & hilaritatem recreantis oculos ſpeciei, donum Virginitatis. Verna quippe res Virginitas, molliter efflorеſcentibus & ſemper
C candidis exhalans calycibus incorruptionem. Vnde & ſe amare formam iuuentutis eius fateri non erubeſcit. *Vulneraſti cor* in ſequentibus *ſoror mea, ſponſa*, dicens, *vulneraſti cor meum in vno oculorum tuorum, in vno ornamento colli tui. Quam pulcræ ſunt mammæ tuæ: & odor veſtimentorum tuorum ſu-* Cant. 4. 9.
D *per omnia aromata. Fauum diſtillant labia tua, ſponſa, mel & lac ſub linguâ tuâ, & odor veſtimentorum tuorum ſicut odor thuris. Hortus concluſus ſoror mea ſponſa, hortus concluſus, fons ſignatus.* Hæc Chriſtus animabus, quæ ad Virginitatis ſepta ſeſe receperunt, encomia canit. Omnes vno circumſcri-

bens ſponſæ nomine, quoniam ſponſam coniũgi oportet ſponſo, & ab eo denominari, puramque & prorſus illibatam eſſe inſtar horti ſignati, vbi omnia cæleſtis fragrantiæ aromata naſcuntur, vt ſolus veniens ea carpat Chriſtus incorporeis germinantia ſatibus. Carnem quippe non curat Verbum: neque immortalis ſpiritualiſque naturæ corruptibilia illa deperit, manus, faciem, pedes, ſed immaterialis & ſpiritualis pulcritudinis aſpectu delectatur, florem vigorémve non attingens corporum. Conſiderate enim, ô Virgines, quando ab ipſo dicitur ſponſæ: *Vulneraſti cor meum in vno oculorum tuorum:* indicari perſpicacem prudentię oculum. Poſtquam ſcilicet illum homo interior deterſerit planéque mundauerit, vt liquidiùs intueatur veritatem. Duplicem enim eſſe videndi facultatem, animæ vnam, alteram corporis manifeſtum eſt cuiuis. Verùm eam quæ ad corpus pertinet, amari à ſe non profitetur Verbum: id reſeruans alteri, quæ per mẽtem exercetur. Propterea *in vno*, inquit, *oculorum tuorum vulneraſti cor meum.* quaſi diceret: intuitu Prudentiæ incitaſti cor noſtrum in amorẽ, fulgorem ab intus ſplendidiſſimum euibrans caſtitatis. Iam ornamenta colli vocantur tor-

A τῷ νύμφης ὀνόματι· ἐπειδὴ τὴν νύμφην ἡρμόσθαι μὲν δεῖ καὶ κατονομάζεσθαι τῷ μνηστευσαμένῳ· ἄχραντον δὲ ἔτι καὶ ἀμιγῆ τυγχάνειν, παράδεισον ὥσπερ ἐσφραγισμένον, ἐν ᾧ πάντα τῆς εὐωδίας τῶν οὐρανῶν φύεται ἀρώματα· ἵνα μόνος ἐλθὼν αὐτὰ δρέψηται Χριστός, ἀσωμάτοις βλαστήσαντα σπο-
B ραῖς· ἐρᾷ γὰρ ὁ λόγος οὐδενὸς τῶν σαρκός· ὅτι μὴ πέφυκεν ἀποδέχεσθαί τι τῶν φθειρομένων, οἷον χεῖρας, ἢ πρόσωπον, ἢ πόδας· ἀλλ' εἰς αὐτὸ τὸ ἄϋλον, καὶ πνευματικὸν βλέπων εὐφραίνεται κάλλος· μὴ ἁπτόμενος τοῦ σώματος τῆς ὥρας. Ἐπισκέψασθε γὰρ ὅτι τό, ἐκαρδίωσας ἡμᾶς, ὦ παρθένοι,
C λεγόμενον πρὸς αὐτοῦ τῇ νύμφῃ, ἐνὶ ἀπὸ ὀφθαλμῶν σου, τὸν διορατικὸν τῆς φρονήσεως ὀφθαλμὸν δείκνυσιν· ὁπότε δὴ τοῦτον ὁ ἔσω σμήξας ἄνθρωπος καθαρῶς, τρανώτερον τὴν ἀλήθειαν ἐποπτεύσῃ. διττὴν γὰρ ὄψεως εἶναι δύναμιν, παντί που καταφανές· μίαν μὲν ψυχῆς, θατέραν δὲ σώματος. ἀλλ'
D οὐχὶ τῆς τοῦ σώματος ἐρᾶν ὁ λόγος ὁμολογεῖ· ἀλλὰ τῆς κατὰ διάνοιαν μόνον, ἐν ἑνί, φάσκων, ἐκαρδίωσας ἡμᾶς ἀπὸ ὀφθαλμῶν σου, καὶ ἐν μιᾷ ἐνθέματι τραχήλου σου· ὅπερ ἐστίν· ὦ αὕτη, τῷ ἐπεράστῳ σου βλέμματι τῆς συνέσεως, ἀνεπτέρωσας ἡμῶν τὴν καρδίαν εἰς πόθον, ἔσωθεν τὸν ἀείδηλον κόσμον ἐξαστράπτουσα τῆς σωφροσύνης· ἐνθέματα γὰρ τραχήλων καλεῖται τὰ περι-

A δέῤῥαια, τὰ ἐκ ποικίλων καὶ τιμίων συντεθειμένα λίθων. ἀλλ' αἱ μὲν σωματασκοῦσαι ψυχαὶ, τὸν αἰσθητὸν τουτονὶ κόσμον ἀμφὶ τὸν τράχηλον τὸν ἔξω τῆς σαρκὸς περιτεθείκασι πρὸς ἀπάτην τῶν θεωμένων· αἱ δὲ ἁγνεύουσαι, ἔνδοθεν ἔμπαλιν τὸν κόσμον ἐξάπτονται, τὸν ἀπὸ τῶν τιμίων καὶ ποικίλων ὡς ἀληθῶς συγκείμενον B λίθων, τῆς ἐλευθερίας, τῆς μεγαλοφροσύνης, τῆς σοφίας, τῆς ἀγάπης· ὀλίγα φροντίσασαι τῶν τῇδε προσκαίρων ποικιλμάτων, ἃ φύλλων δίκην πρὸς ὥραν θάλλοντα συναφαναίνονται τοῦ σώματος ταῖς τροπαῖς. διπλοῦς γὰρ ὁ περὶ τὸν ἄνθρωπον φαίνεται κόσμος, ὧν τὸν ἔνδον C ὁ κύριος ἀποδέχεται, τὸν ἀκήρατον, ἐν μιᾷ λέγων τραχήλων ἐνθέματι τῆς νύμφης κεκαρδιῶσθαι, οἱονεὶ τοῦ ἔσωθεν ἀνθρώπου τῆς καταστολῆς αἴγλην ἀποστίλβοντος, ὠρέχθαι σημαίνων· ὥς που καὶ ὁ ψαλμῳδὸς μαρτυρεῖ· πᾶσα, λέγων, ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν. μὴ ὑπολαμ- D βανέτω δέ τις, ἀποκρούεσθαι τὸν ἕτερον ὅμιλον τῶν πεπιστευκότων, δόξας ἡμᾶς τὰς παρθένους μόνας εἰσηγήσεσθαι τευξομένας τῆς ἐπαγγελίας· συννοήσας, ὅτι καὶ φυλαὶ, καὶ πατριαὶ, καὶ τάγματα, κατὰ ἀναλογίαν ἑκάστων ἔσονται τῆς πίστεως· καὶ τοῦτο καὶ Παῦ-

A ques aut monilia ex variis, & pretioſis contexta gemmis. Cæterùm quæ corporibus ſtudent animæ, ſenſibilem hunc ornatum circa ceruicem exteriorem carnis exponunt ad deceptionem intuentium: quæ verò Virginitatem profitentur, interiorem è contrario ſibi ornatum circumdant è variis & ipſum, & verè pretioſis con- B ſtantem gemmis, libertate, magnanimitate, ſapientiâ, caritate; parum curantes iſtos qui hîc in vſu ſunt, citò diffluentes ornatus, qui foliorum ritu ad tempus vigentes, mutationibus corporis per ſtatas vices contingentibus euaneſcunt. Duplex enim nitor eſt, quo commendari ad aſpectum C homo poteſt. Prior internus, immarceſcibilis, quo Dominus capitur, *in vno* ſibi aiens, *ornamento colli ſponſæ, cor vulnerari.* quaſi pellici ſe, atque ad amorem accendi ſignificans ſplendore ab interioris veſtitu hominis emicante. Vti Pſalmiſta quoque atteſtatur: *Omnem* Pſal. 44. aiens *gloriam filiæ Regis ab intus* eſſe. Nolim verò quiſquam D exiſtimet reiici aliam multitudinem credentium: putans nos ſolas Virgines introductum iri potituras promiſſis bonis: non cogitans eorum, qui fidei communione tenentur vnius, Tribus, cognationes, ordines futuros plurimos, cum proportione propoſita omnibus præmia participaturos. Id quod Pau-

1. Cor. 15. 41. lus exprimit: *Alia*, dicens, *claritas Solis, alia claritas Lunæ, alia claritas ſtellarum. Stella enim à ſtella differt in claritate.* Math. 5. *ita & reſurrectio mortuorum.* Ipſe Dominus non eoſdem omnibus honores decernit. Sed alios regno cælorum annumerat, aliis hereditatem terræ pollicetur, alios promittit viſuros Patrem. nempe corde mundos, hoc eſt Virgines, in quo prærogatiuam Virginitati ſuam ſeruat, primum ordinem & chorum conſecratarum ipſi Virginum in requiem nouorum ſæculorum, tamquam in thalamum in ſuo comitatu ſecum introducendum prædicens. Atteſtatur enim eas, vt pote non in aliquâ ætatis parte, aut exiguo tempore, ponderi trahentium deorſum corporum generosè reluctatas; ſed quæ per totam vitam eum laborem tolerare non reformidauerint, certamine velut quodam olympico Virginitatis fortiter perfunctæ, ac tentationes paſſæ vehementes voluptatum, feróſque metus & dolores, cæteráque nequitiæ hominum mala, numquam iis ſuccubuerint aut ceſſerint; teſtatur, inquam, eas tales ſic meritas, primas omnium relaturas præmia, in meliori promiſſionis extra ordinem collocatas loco. Denique iſtas ſolùm animas fidei probatæ, electam ſuam ſponſam Verbum appellat: reliquas autem

A λως διαγράφει· ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, λέγων, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ· οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν· καὶ ὁ κύριος δὲ οὐ πᾶσι τὰς αὐτὰς ὁμολογεῖ διδόναι τιμάς· ἀλλ᾽ ἑτέροις ἐν βασιλείᾳ καταριθμεῖται τῶν οὐρανῶν, B ἄλλοις κληρονομίαν ἐπαγγέλλεται γῆς, ἑτέροις ὄψεσθαι τὸν πατέρα· καὶ δὴ καὶ ἐνταῦθα πρῶτον τὸ τάγμα καὶ τὸν χορὸν τὸν ἅγιον αὐτῷ τῶν παρθένων, ὥσπερ εἰς νυμφῶνα τὴν ἀνάπαυσιν τῶν καινῶν αἰώνων ἐφομαρτοῦντα, συνεισελεύσεσθαι χρησμῳδεῖ. ἐμαρτύρησε γάρ, ὡς οὐ κατά τι μέρος χρόνου ἐν C βραχεῖ καρτερησάσαις σωμάτων ἀχθηδόνας, ἀλλὰ διαπαντὸς τλήσεσθαι τοῦ βίου μὴ ἀποδειλιασάσαις, τὸν ἀγῶνα τὸν ὀλυμπιακὸν ἀληθῶς διαθλησάσαις τῆς ἁγνείας· βασάνοις τε γὰρ ἀγρίαις ἡδονῶν, καὶ φόβοις, καὶ λύπαις αἰ[illegible]σαι, καὶ τοῖς ἄλλοις τῆς πο- D νηρίας τῶν ἀνθρώπων κακοῖς, ἀποφέρονται τὰ γέρα πρῶται τῶν ἄλλων, εἰς τὸν ἀμείνω τῆς ἐπαγγελίας ἐκταττόμεναι χῶρον. ἀμέλει ταύτας μόνον ἐκλεκτὴν νύμφην τὰς ψυχάς, καὶ γνησίας, ὁ λόγος ἑαυτοῦ καλεῖ· τὰς δὲ λοιπὰς παλλακάς, καὶ νεάνιδας, concubinas, adoleſcentulas,

καὶ θυγατέρας, λέγων ὧδε· ἑξήκοντά εἰσι βασίλισσαι, καὶ ὀγδοήκοντα παλλακαί, καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμός· μία δέ ἐστι περιστερά μου, τελεία μου, μία δέ ἐστι τῇ μητρὶ αὐτῆς, ἐκλεκτὴ τῇ τεκούσῃ αὐτήν· ἴδοσαν αὐτὴν θυγατέρες καὶ μακαριοῦσιν αὐτήν· πολλῶν γὰρ οὐσῶν δηλονότι τῆς ἐκκλησίας τῶν θυγατέρων, μία δέ ἐστι μόνη, ἐκλεκτή, καὶ τιμιωτάτη ἐν ὀφθαλμοῖς αὐτῆς ὑπὲρ πάσας, τὸ τάγμα τῶν παρθένων· ἐὰν δέ τῳ περὶ τούτων ἀμφισβήτησις ἦν, ὡς οὐδέπω τῶν κεφαλαίων ἱκανῶς ἐπεξειργασμένων, καὶ ἔτι βούλοιτο κατ᾽ ἀναγωγὴν αὐτὸν πνευματικὴν διαρθρωθῆναι πληρέστερον, τίνες εἰσὶν αἱ βασίλισσαι, αἱ παλλακαί, καὶ αἱ νεάνιδες· λέξομεν, δυνάμενα ταῦτα λελαλῆσθαι, καὶ ἐπὶ τῶν ἐξ ἀρχῆς κατὰ πρόσβασιν χρόνων ἐν δικαιοσύνῃ διαπρεψάντων· οἷον τῶν πρὸ τοῦ κατακλυσμοῦ, καὶ τῶν μετὰ τὸν κατακλυσμόν, καὶ τῶν ἀπὸ τοῦ Χριστοῦ καθεξῆς· εἶναι γὰρ νύμφην μὲν τὴν ἐκκλησίαν· βασιλίσσας δέ, τὰς βασιλικὰς ἐκείνας, τὰς πρὸ τοῦ κατακλυσμοῦ ψυχάς, εὐαρέστους τῷ θεῷ γεγενημένας, τουτέστι τὰς ἀμφὶ τὸν Ἄβελ, καὶ τὸν Σὴθ, καὶ τὸν Ἐνώχ· παλλακὰς δέ, τὰς μετὰ τὸν κατακλυσμόν, τῶν προφητῶν· αἷς, πρὸ τοῦ τὴν ἐκκλησίαν ἁρμοσθῆναι τῷ κυρίῳ, παλλακίδων δίκην συνδινόμενος, ἀληθεῖς ὑπέσπειρε λόγους ἐν ἀφθόρῳ καὶ καθαρᾷ φιλοσοφίᾳ,

A aut filias, ſic dicens: *Sexaginta ſunt reginæ, & octoginta concubinæ, & adoleſcentulæ quarum non eſt numerus. una eſt columba mea, perfecta mea, vna eſt matri ſuæ, electa genitrici ſuæ. Viderunt eam filiæ & beatificabunt eam.* Cùm multæ videlicet ſint Eccleſiæ filiæ, electa & honoratiſſima in oculis ipſius hæc eſt ſuper omnes, nimirum ordo Virginum. Quòd ſi quis de his dubitet, quaſi adhuc hæc ſcriptura nequaquam ad purum declarata fuerit, ac præterea velit ad ſpiritualem eam referri ſenſum, iuxtáque illum diſtinctiùs exponi quænam ſint reginæ, quæ verò concubinæ, quæ demum adoleſcentulæ: dicemus, fieri poſſe vt iſta dicta ſint de iis qui à principio per ſucceſſiones temporum in iuſtitiâ excelluerunt. Puta, qui ante diluuium, quíque poſt diluuium, quíq; poſt Chriſtum continuâ ſerie. Eccleſia videlicet ſponſa eſt. Reginæ verò regiæ illæ, Deo placentium ante diluuium Patriarcharum animæ, nempe Abel, Seth, Enoch. Concubinarum verò mentione adumbratæ fuerint animæ Prophetarum, qui poſt diluuium fuerunt: quæ ex Domino, antequam ei Eccleſia iungeretur, veracium verborum puræ incorruptæque ſapientiæ ſemina conceperunt, Can. 6. 7.

(Marginal letters in the original: B at "culis ipſius", C at "fieri poſſe", D at "Patriarcharum".)

vt ei gignerent fidem & ſpiritum ſalutis. Tales enim fœtus edunt eiuſmodi animæ, monumenta ſui æternùm manſura relinquentes, quibus ſui Spiritus participationem Chriſtus indulſerit. Nam ſi Moyſis libros, Dauidis, Salomonis, aut Iſaïæ aliorúmque conſequenter Prophetarum intueri volueritis, ô Virgines, videbitis quales quãque vitæ ac mundo ſalutares poſt ſe fœtus reliquerint, propter eam, quæ ipſis cum Dei filio interceſſit, communionem. Quare conſideratè admodum concubinas vocat animas Prophetarum, quoniam arcanis congreſſibus eas ſibi iungebat, neque illas adhuc publicè, vt poſtea Eccleſiam, duxerat, occiſo in nuptiales epulas vitulo ſaginato. Quærendum porrò præterea videtur, ne quid nos dictu neceſſarium effugiat, quid cauſæ ſit cur reginæ quidem ſexaginta numerentur, concubinæ octoginta, adoleſcentulæ verò tam multæ inducantur, vt earum numerus propter multitudinem iniri nequeat; ſponſa denique cur ponatur vna? Incipiamus à ſexaginta. Sexaginta, opinor, reginas hîc vocauit eos, qui ab Adamo vſque ad Noë, continua ſucceſſione temporum, Deo placuerunt. Quoniam aliis hi præceptis ac legibus ad ſalutem conſequendam opus non habuerunt, etiamnum recente apud ipſos memoriâ crea-

A ἵνα γεννῶσιν αὐτῷ συλλαβοῦσαι πίστιν, πνεῦμα σωτηρίας. Τοιαῦτα γὰρ ἀποβλαστήματα φύουσιν αἱ ψυχαὶ, ἀείμνηστον φέροντα κλέος, ὁπόσαις ἂν ὁ Χριστὸς συνδυακραθῇ. εἰ γὰρ βούλεσθε εἰς Μωϋσέως ἀποβλέψαι βίβλους, ἢ Δαβὶδ, ἢ Σολομῶντος, ἢ Ἠσαΐου, ἢ τῶν καθεξῆς προφητῶν, ὦ παρθένοι,
B εἴσεσθε, οἷα καταλελοίπασιν ἑαυτῶν ἔκγονα τῷ βίῳ σωτήρια, διὰ τὴν πρὸς τὸν υἱὸν τοῦ θεοῦ κοινωνίαν. ὅθεν τεθεωρημένως παλλακὰς προσηγόρευσε τὰς ψυχὰς τὰς προφητικὰς ὁ λόγος, ὅτι μὴ φανερῶς αὐτὰς οὔπω καθάπερ δὴ καὶ τὴν ἐκκλησίαν ἐπηγάγετο, θύσας δι' αὐτὴν τὸν μόσχον τὸν
C σιτευτόν· ἐπαπορητέον δὲ καὶ τοῦτο πρὸς τούτοις, ἵνα μηδὲν ἡμᾶς τῶν ἀναγκαίων ἀποδρᾶναι δυνηθῇ, τί δήποτε τὰς μὲν βασιλίσσας ἑξήκοντα ἔφη, τὰς δὲ παλλακὰς ὀγδοήκοντα, τὰς δὲ νεάνιδας τοσαύτας, ὅσον μηδὲ ἀριθμεῖσθαι διὰ τὴν πληθύν, τὴν δὲ νύμφην μίαν; καὶ πρῶτον
D περὶ τῶν ἑξήκοντα λεκτέον. ἑξήκοντα βασιλίσσας ἐντεῦθεν, ὡς οἶμαι δὴ, τοὺς ἀπὸ τοῦ πρωτοπλάστου μέχρι Νῶε κατὰ διαδοχὴν εὐαρεστήσαντας ἐκάλεσε τῷ θεῷ· ἐπειδήπερ ἑτέρων οὗτοι παραγγελμάτων καὶ θεσμῶν εἰς τὸ σωθῆναι χρείαν οὐκ ἐσχήκασιν, ἔτι προσφάτου τῆς κατὰ τὴν ἑξαήμερον οὔσης

αὐτοῖς

αὐτοῖς τῆς κόσμου συστάσεως. ἐμέμνηντο γὰρ οὗτοι, ὡς ἐν ἓξ ἡμέραις ὁ θεὸς ἐπεκτήνατο τὴν κτίσιν, τά τε ἐν τῷ παραδείσῳ γεγονότα· καὶ πῶς ὁ ἄνθρωπος ἐντολὴν ἔχων μὴ ἅψασθαι τοῦ φυτοῦ τῆς φρονήσεως, ἐξώκειλεν, ἀποβουκολήσαντος αὐτὸν τοῦ τῆς κακίας σοφιστοῦ· ἐντεῦθεν δὴ τὰς ἀπὸ τῆς συστάσεως εὐθέως τοῦ κόσμου κατὰ διαδοχὴν τὸν θεὸν ποθεῖν ἑλομένας ψυχάς, καὶ σχεδόν, εἰ χρὴ φάναι, τοῦ πρώτου αἰῶνος οὔσας ἔκγονα, καὶ γείτονας τῆς μεγάλης ἑξαημέρου, ἑξήκοντα βασιλίσσας ἔφη συμβολικῶς, διὰ τὸ μετὰ τὴν ἑξαήμερον εὐθέως, ὡς ἔφην, γεγονέναι· μεγάλην γὰρ ἐσχήκασιν οὗτοι τιμήν, ἀγγέλοις συνομιλήσαντες, καὶ τὸν θεὸν ὕπαρ οὐκ ὄναρ πολλάκις θεασάμενοι. ἐπισκέψασθε γάρ, ὅσην εἶχε παρρησίαν ὁ Σὴθ πρὸς τὸν θεόν, ὅσην ὁ Ἀβελ, ὅσην ὁ Ἐνὼς, ὅσην ὁ Ἐνὼχ, ὅσην ὁ Μαθουσάλα, ὅσην ὁ Νῶε, πρῶτοι δικαιοσύνης γεγονότες ἐρασταί, καὶ πρῶτοι τῶν πρωτοτόκων τέκνων ἀπογεγραμμένων ἐν οὐρανοῖς, τῆς βασιλείας καταξιωθέντες, ὥσπερ ἀπαρχή τις τῶν φυτευμάτων εἰς σωτηρίαν πρώιμος τῷ θεῷ βλαστήσαντες καρπός. καὶ περὶ μὲν τούτων αὐτάρκως· περὶ δὲ τῶν παλλακῶν πάλιν λεκτέον· τοῖς μετὰ τὸν κατακλυσμόν, ἀνωτέρω

A tionis mundi ſex diebus conditi. Recordabantur, inquam, vniuerſitatem hanc rerum mirabili ſex dierum operatione à Deo fuiſſe fabricatam, infixámque ſenſibus gerebant hiſtoriam in Paradiſo geſtorum: vt nempe accepto mandato non tangendæ arboris ſcientiæ, illectus ab artifice nequi-
B tiæ in exitium miſer impegit. Hinc eas, quæ ſtatim à conſtitutione mundi continua ſucceſſione amare Deum elegerunt animas ferme, vt ſic dicam, primi ſæculi ſoboles, & vicinas magni ſenarij dierum, ſexaginta Reginas ſymbolicè vocat: quia, vt dixi, ſtatim poſt creationem ſex die-
C bus factam extiterunt. Regiâ quadam in hoc ſupra cæteras eminentes ſorte, quòd præcipuo præ reliquis honore affectæ ſunt: dignatæ conſuetudine familiari Angelorum: & Deum palam, non per ſomnium, ſæpe intuitæ. Conſiderate enim quanta Setho fami-
D liaritas cum Deo fuit? quàm intima aſſiduáque cum eodem conuerſatio Abelis, Enoſi, Enochi, Mathuſalæ, Noëmi? Primi hi amatores iuſtitiæ: primis primogenitorum adſcriptorum cælesti regno honoribus dignati: primitiæ verè nouitate ipſa & naſcendi prærogatiua iucundiores, expectatorum fructuum, quæ ex plantatis Deo arboribus anticipata maturitate prouenerunt. Ac de his quidem ſatis. De concubinis reſtat dicere. Apud eos qui poſt diluuium fuerunt, quaſi exoleſ-

cebat prior illa ſenſim conſe- A
neſcens & ſpatio antiquata
temporum Dei notitia. Opúſ-
que iis alterâ inſtitutione erat,
quæ aduersùs innaſci iam &
ſerpere incipientem idolola-
triam præſidio mortalibus au-
xilióque poſſet eſſe. Nec de-
fuit neceſſitati Deus : qui ne
rerum obliuio ſalutarium om-
ne funditus humanum obrue-
ret genus, prædicari curauit à B
Prophetis ſuum filium, eiúſ-
que appariturum in carne ad-
uentum tantò ante nunciari :
per quem ſpiritualis octonarij,
remiſſionem peccatorum, &
reſurrectionem præbituri, gra-
tia & cognitio promulganda
foret. Circumcidenda quippe
per ipſum vitia hominum &
corruptionem. Propter hoc, ca- C
talogum Prophetarum qui ab
Abraam fuerunt, propter cir-
cumciſionis annunciationem o-
ctonario comprehenſam nume-
ro, ex quâ pendebat lex, octo-
ginta concubinas appellauit :
quoniam hi principes iam tum
antequam Eccleſia deſponſare-
tur Verbo, diuinis conceptis
ſeminibus, ſpiritualis octonarij
circumciſionem prænuntiarũt,
tempore legis nouæ promul- D
gandam. Quod adoleſcentulas
innumeras attinet; earum men-
tione deſignatæ ſunt multitu-
dines innumerabilium iuſto-
rum, qui, non illi quidem
in ſupremo perfectionis ſtatu, verùm in inferiori ordine, iu-
uenili alacritate generosè certauerunt aduersùs peccatum. Cæ-
terùm ex his omnibus, neque Reginæ, neque concubinæ,

A λοιπὸν ἡ γνῶσις ἦν τοῦ θεοῦ, καὶ ἐ-
χρῆζεν ἑτέρας διδαχῆς, ἑρπούσης
ἤδη τῆς εἰδωλολατρείας, ἥτις αὐτοῖς
αὖθις ἀλεξίκακος ἔσοιτο καὶ βοηθός·
ὁ οὖν θεὸς, ἵνα μὴ παντῃ τὸ γένος
τῶν ἀνθρώπων αἰστωθῇ λήθῃ τῶν κα-
λῶν, τὸν ἴδιον παῖδα τοῖς προφή-
ταις ἐκέλευσεν ὑπηχῆσαι τὴν ἐσο-
μένην ἑαυτοῦ παρουσίαν διὰ σαρ-
B κὸς εἰς τὸν βίον, καθ᾽ ἣν ἡ τῆς
πνευματικῆς ὀγδοάδος χαρὰ καὶ
γνῶσις κηρυχθήσεται, ἀφέσεως ἁ-
μαρτημάτων οὖσα καὶ ἀναστάσεως
παρεκτική· περιτμηθήσεσθαι γὰρ δι᾽
αὐτῆς τῶν ἀνθρώπων τὰ πάθη καὶ
τὴν φθοράν· καὶ διὰ τοῦτο, τὸν
κατάλογον τῶν ἀπὸ τοῦ Ἀβραὰμ
προφητῶν, διὰ τὴν τῆς περιτο-
C μῆς πρεσβείαν, τὸν ὀκτὼ περι-
εχούσης ἀριθμὸν, ἧς ἐξήρτηται
καὶ ὁ νόμος, ὀγδοήκοντα παλλακὰς
ἐκάλεσεν· ὅτι πρῶτοι πρὶν τὴν
νύμφην τὴν ἐκκλησίαν κατεγγυη-
θῆναι τῷ λόγῳ, τὰ θεῖα συλλα-
βόντες σπέρματα, τὴν νοητῆς προ-
εξήγγειλαν ὀγδοάδος τὴν περιτομήν·
νεάνιδας δὲ πάλιν εἰς ἀνάριθμον
συντελούσας ὅμιλον, τὰ ὑπὸ τοῖς
D κρείττοσι δικαιοπραγήσαντα πλή-
θη, καὶ νεανικῶς, καὶ γενναίως
διαθλήσαντα πρὸς τὴν ἁμαρ-
τίαν καλεῖ· ἀλλὰ τούτων οὐδὲ αἱ
βασίλισσαι, οὐδὲ αἱ παλλακαί,

A οὐδὲ αἱ νεάνιδες συγκρίνονται τῇ ἐκκλησίᾳ. ἡ γὰρ τελεία καὶ ἐκλεκτὴ παρὰ πάσας αὐτὰς νομιζομένη, ἡ ἐκ πάντων συνεστῶσά τε καὶ συνηνωμένη τῶν ἀποστόλων, ἐστὶν ἡ ὑπερβάλλουσα νύμφη τῷ κάλλει τῆς ἀκμῆς καὶ τῆς παρθενίας πάσας· διὸ καὶ μακαρίζεται καὶ αἰνεῖται πρὸς τῶν ἄλλων, ὅτι αὕτη καὶ εἶδε καὶ ἤκουσεν ἀφθόνως ἃ B ἐκεῖναι ἐπεπόθησαν κἂν ἐκ βραχέος θεάσασθαι, καὶ οὐκ εἶδον· καὶ ἀκοῦσαι, καὶ οὐκ ἤκουσαν· μακάριοι γάρ, φησιν, οἱ ὀφθαλμοὶ ὑμῶν, ὁ κύριος τοῖς μαθηταῖς, οἱ βλέποντες, ἃ βλέπετε. λέγω γὰρ ὑμῖν, ὅτι πολλοὶ προφῆται ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον· καὶ ἀκοῦσαι, ἃ ἀκούετε, καὶ οὐκ ἤκου- C σαν. οὐκοῦν διὰ ταῦτα μακαρίζουσι ταύτην οἱ προφῆται, καὶ θαυμάζουσιν, ὅτι ὧν αὐτοὶ μὴ ἐπέτυχον ἀκροαταὶ γενέσθαι καὶ θεάμονες, ἡ ἐκκλησία κατηξιώθη καὶ μετείληφεν. ἑξήκοντα γάρ εἰσι βασίλισσαι, καὶ ὀγδοήκοντα παλλακαί, καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμός· μία ἐστὶ περιστερά μου, τελεία D μου· δυνήσεται δέ τις ἑτέρως τὴν νύμφην φάναι τὴν σάρκα τὴν ἀμόλυντον εἶναι τοῦ κυρίου, ἧς χάριν τὸν πατέρα καταλείψας κατῆλθεν ἐνταῦθα, καὶ προσεκολλήθη, καὶ ἐγκατέσκηνεν, ἐνανθρωπήσας εἰς αὐτήν· διὸ δὴ καὶ περιστερὰν αὐτὴν τροπι-

A neque adoleſcentulæ cum Eccleſiâ comparantur. Hæc enim perfecta & electa ſupra ipſas vniuerſas habita, ex omnibus conflata & in vnum coagmentata Apoſtolis, eſt illa excellens ſponſa, vna incomparabilis vernanti forma viuidæ floridæque iuuentutis & Virginitatis facilè omnes ſuperans. B Quocirca & beata prædicatur, & laudatur præ aliis, quòd ipſa viderit audieritque otioſè quæ illæ cùm audire ac videre vel ad breue tempus concupierint, nec videre tamen audiréve potuerunt. *Beati* quippe Dominus inquit diſcipulis, *oculi veſtri videntes quæ videtis. Dico enim vobis quod multi Prophetæ cupierunt videre quæ* C *videtis, & non viderunt: & audire quæ auditis, & non audierunt.* Ob hanc meritò cauſam beatam Eccleſiam Prophetæ vocant, eámque admirantur, quoniam quæ ipſis, cùm cuperent, videre audiréque non contigit, eorum ipſa ſpectatrix & particeps fuit. *Sexaginta ſunt reginæ, & octoginta concubinæ, & adoleſcentulæ* D *quarum non eſt numerus. Vna eſt columba mea, perfecta mea.* Licebit autem cuipiam alio iſta modo interpretanti, dicere carnem incorruptam, ſponſam in his Domini vocari: propter quam relicto Patre huc deſcendit eíque adhæſit, & agglutinatus eſt, incarnans ſe in eam. Quare illam tropicè co-

Math. 13. 17.

Cant. 6. 7.

lumbam appellat : quoniam
hoc manſuetum ac familiare
animal eſt , libenter ſub eo-
dem tecto cum hominibus ha-
bitans. Vna enim profectò la-
bis nævíque omnis expers eſt,
ornata præterea longè ſupra
omnium virtutes excellenti iu-
ſtitiæ mundo , formæque tan-
ta fulgens præſtantiâ, vt nemo
eorum qui vel ſummè Deo
placuerunt , ad vllam etiam
è longinquo virtutis aſpirare
comparationem cum eâ poſſit.
Quocirca meritò in conſor-
tium maieſtatis vnigeniti adſci-
ta ab eo eſt, illam ſibi adaptan-
te vnientéque. Itaque in qua-
drageſimo quarto pſalmo, quæ
ex pluribus adſtat à dextris
Dei Regina, aureo virtutis or-
natu veſtita , cuius concupiuit
pulcritudinem Rex , caro eſt,
vt aiebam , immaculata illa &
beata , quam ipſe Deus Ver-
bum delatam in cælos in dex-
tera Patris conſtituit , in veſti-
tu deaurato circumdatam va-
rietate. hoc eſt, in ſtudiis incor-
ruptionis , quæ ſymbolicè vo-
cauit veſtitum deauratum &
varium. Quoniam ex diuerſis
variegatur iſtud , & quaſi con-
texitur officiis operibúſque bo-
nis veſtimentum. puta ex ca-
ſtitate , ex prudentiâ, ex fide,
caritate, patientia , reliquíſque
virtutibus, quæ operientes tur-
pitudinem carnis , ornant ho-
minem ornatu aureo. Reſtat vt
quid in conſequentibus pſal-
mi poſt commemoratam exal-

A κῶς ἔφη· ἐπεὶ τιθασὸν τὸ ζῷον,
καὶ ὑπωρόφιον, καὶ διαίτῃ τῇ μετὰ
ἀνθρώπων ἐνασμενίζον· μόνη γὰρ,
ὡς ἔπος εἰπεῖν, ἄσπιλος καὶ ἀμίαντος
εὑρέθη, καὶ πάντας ὑπερέχουσα τῷ
τῆς δικαιοσύνης κόσμῳ καὶ κάλλει,
ὥστε μηδένα καὶ τῶν εἰς ἄκρον εὐαρεστη-
σάντων τῷ θεῷ ταύτης δυνηθῆναι
πέλας, ὡς πρὸς σύγκρισιν ἀρετῆς,
B στῆναι· καὶ διὰ τοῦτο κατηξιῶσθαι κοι-
νωνὸν αὐτὴν γενέσθαι τῆς βασιλείας
τοῦ μονογενοῦς, αὐτῷ καθηρμοσμέ-
νην τε καὶ ἐνωθεῖσαν· καὶ ἐν τῷ τεσσα-
ρακοστῷ δὲ καὶ τετάρτῳ ψαλμῷ, ἡ
ἐκ τῶν πλειόνων παρισταμένη ἐκ δε-
ξιῶν βασίλισσα τοῦ θεοῦ μεσῶν, ἡ
τῷ διαχρύσῳ τῆς ἀρετῆς κόσμῳ κα-
τεστολισμένη, ἧς ἐπεθύμησε τοῦ κάλ-
C λους ὁ βασιλεὺς, ἡ σάρξ ἐστιν, ὡς
ἔφην, ἡ ἄχραντος ἐκείνη καὶ μα-
καρία, ἣν αὐτὸς ἀνακομίσας ὁ
λόγος εἰς οὐρανοὺς, ἐκ δεξιῶν παρ-
έστησε τοῦ πατρὸς, ἐν ἱματισμῷ δια-
χρύσῳ κεκοσμημένην· ὃ δή ἐστιν,
ἐν ἐπιτηδεύμασι τῆς ἀφθαρσίας,
ἃ συμβολικῶς ἔφησε χρυσᾶ κροσ-
σωτά· ἐπειδὴ γὰρ ἐκ ποικίλων ποι-
D κίλλεται τούτων καὶ συγκαθυφαίνεται
κατορθωμάτων τὸ ἔνδυμα, οἷον
ἁγνείας, φρονήσεως, πίστεως, ἀ-
γάπης, ὑπομονῆς, καὶ τῶν λοιπῶν
ἀγαθῶν, ἃ δὴ κατακαλύπτοντα
τὴν ἀσχημοσύνην τῆς σαρκὸς, κο-
σμεῖ τὸν ἄνθρωπον κόσμῳ χρυ-
σῷ· ἔπειτα τί δὴ πάλιν καὶ ἐν τοῖς
ἑξῆς τοῦ ψαλμοῦ, μετὰ τὸ τὴν ἀν-

θρόνον ἐκ δεξιῶν ἐνθρονισθῆναι τοῦ A παντοκράτορος, ὃν ἀνείληφεν ὁ λόγος, τὸ πνεῦμα παραδίδωσιν, ἐπισκεπτέον· ἀπενεχθήσονται, φησί, τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς· αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι, ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει, ἀχθήσονται εἰς ναὸν τοῦ βασιλέως. πάνυ προφανῶς ἐνταῦθα δὲ λοιπὸν ἔοικεν ἐγκωμιάζειν τὸ B πνεῦμα τὴν ἁγνείαν, μετὰ τὴν νύμφην, ὡς ἀποδεδώκαμεν, τοῦ κυρίου, δευτέρας προσιέναι τῷ παντοκράτορι ἐν ἀγαλλιάσει καὶ εὐφροσύνῃ τὰς παρθένους ἐπαγγελλόμενον, ὑπ' ἀγγέλων δορυφορουμένας τε καὶ παραπεμπομένας· οὕτω γὰρ ἐπέραστόν τε τὸ τῆς παρθενίας ἐστίν, ὡς ἀληθῶς, καὶ περιπόθητον κλέος, ὥστε ὀπίσω τῆς C βασιλίσσης, ἣν ἀνήγαγεν ὁ κύριος, ἀναμάρτητον ἀποτορνεύσας τῷ πατρί, τὸν χορὸν τῶν παρθένων, καὶ τὸ τάγμα προσκομίζεσθαι, τὰ δευτερεῖα τῆς νύμφης κεκληρωμένον. ταῦτά σοι καὶ παρ' ἡμῶν, ὦ Ἀρετή, τὰ γυμνάσματα τῶν λόγων ὑπὲρ ἁγνείας ἐστηλιτεύσθω.

A cationem carnis à Chriſto aſſumptæ ad dexteram Patris, Spiritus ſanctus adiungat, conſideremus. *Adducentur*, inquit, *Regi Virgines poſt eam, proximæ eius afferentur tibi. afferentur in lætitia & exultatione, adducentur in templum Regis.* Psal. 44. Valde manifeſtè videtur hîc Virginitatem laudare diuinus Spiritus, ac polliceri, B Virgines ſecundo poſt Chriſti ſponſam loco, hoc eſt, vt reddidimus, poſt carnem ipſius immaculatam, acceſſuras ad omnipotentem in lætitia & exultatione, deductas tuto præſidio & ſplendido comitatu Angelorum. Adeo enim amabile, & ſupra modum deſiderabile decus eſt virginitatis, C vt poſt reginam, quam peccati expertem effecit ornauitque Dominus, & ad patrem duxit, Virginum chorum, ordinémque, ſecundo ſtatim poſt ſponſam honore dignetur. Hæ tibi à nobis quoque exercitationes ſermonum, ô Arete, ſuper virginitate palam appendantur.

D

ΘΕΚΛΑ.

ΛΟΓΟΣ Η'.

ΕΙΠΟΥΣΗΣ δὲ ταῦτα τῆς Προκίλλης, ἐμὸς ὁ κλῆρος, ἡ Θέκλα ἔφη, μετὰ ταύτην ἐφεξῆς ἀγωνίζεσθαι· καὶ χαίρω συνέμπορον ἔχουσα κἀγὼ τὴν σο-

THECLA.

ORATIO VIII.

TALIA vbi Procilla peroraſſet, meus iam, Thecla inquit, agendi locus eſt. eóque gratulans occurro, magnæ mihi ego quoque adiutricis conſcia ſapien-

tiæ; cuius etiam quavis citharâ ſuauiorem vocem, audire mihi adhortantem videor, & inſtruentem me, ad accuratè decoréque diſſerendum.

ARETE. Volenti ſanè mihi, ô Thecla, plurimúmque gaudenti, experrectus iſte tuus, & vltro emicans ad capeſſendam rem impetus accidit. Ex quo equidem omen iam hinc auguriúmque rapio non fallax, reſponſuram te magnificè expectationi noſtræ, ac pro tua inſigni facultate locum hunc totum copioſè ornaturam & ſplendidè. Quid enim ad hoc vtique tibi deeſt, quæ externæ philoſophiæ variæque eruditionis, cunctarúmque artium liberalium comprehenſione cedas nemini: euangelicâ verò ac diuinâ doctrinâ ſcilicet antecellas omnibus, vt pote à ſummo eius generis inſtituta edoctáque Magiſtro Paulo.

THECLA. Sumamus ergo ſine morâ principium dicendi ab ipsâ protinus notatione nominis: inquiramúſque quam ob cauſam principaliſſimum iſtud & beatum ſtudium quo de agimus παρθενία vocitetur: tum explicabimus quale id ſit, quamque habeat vim. Denique quos ex ſe fructus ad extremum edat. Parum enim abeſt, quin miſerâ omnes vulgò ignoratione laborent huius laudis incredibiter excellentis ſupra quælibet alioquin heroïca officia virtutum, quæcumque vel ad purgationem, vel ad exornationem vſurpamus animæ. παρθενία ſiquidem, quaſi πανθεία *omnino diuina* leui mutatione literæ ex merito dicta eſt; vt

A φίαν τῶν λόγων, αἰσθανομένην, κιθάρας δίκην, ἔσωθεν ἁρμοζομένην με καὶ παρασκευάζουσαν εἰς τὸ μεμελημένως εἰπεῖν καὶ εὐσχημόνως.

ΑΡΕΤΗ. Ἄριστα, ὦ Θέκλα, τὴν προθυμίαν ἀπεδεξάμην, ᾗ καὶ πιστεύω εἰς δύναμιν
B πρέποντας ἀποδοῦναί σέ μοι τοὺς λόγους· φιλοσοφίας τε γὰρ τῆς ἐγκυκλίου καὶ παιδείας οὐδενὸς ὑστερήσεις· τῆς εὐαγγελικῆς τε αὖ καὶ θείας, τί χρὴ καὶ λέγειν, παρὰ Παύλῳ σεσοφισμένην.

ΘΕΚΛΑ. Οὐκοῦν λέγωμεν δὴ πρῶτον αὐτόθεν ἀπ' αὐ-
C τῆς ἀπαρξάμεναι τῆς ἐπωνυμίας, δι' ἣν αἰτίαν ἐκλήθη παρθενία τοῦτο τὸ κορυφαιότατον καὶ μακάριον ἐπιτήδευμα, οἷόν τε ὂν τυγχάνει, καὶ δύναμιν ἣν ἔχει, καὶ εἰσύστερον ὁποίους καρποὺς ἀποτελεῖ· κινδυνεύουσι γὰρ ὀλίγου σύμπαντες αὐτὴν ἠγνοηκέναι μυ-
D ρίων διαφέρουσαν τῶν ἄλλων τῆς ἀρετῆς πλεονεκτημάτων, ὁπόσα εἰς κάθαρσιν καὶ κόσμον διαπονούμεθα τῆς ψυχῆς· πανθεία γὰρ ἡ παρθενία κατὰ μίαν ὑπαλλαγὴν καλεῖται στοιχείου, ὡς

A δὴ μόνη τὸν ἔχοντα, καὶ τετελεσμένον αὐτῆς ταῖς ἀφθάρτοις τελεταῖς θεῷ παρεικάζουσα, οὗ μεῖζον ἀγαθὸν ἀδύνατον εὑρεῖν, ἡδονῆς καὶ λύπης ἀπῳκισμένον· καὶ τὸ τῆς ψυχῆς καταρδευόμενον ἀληθῶς αὔξεταί τε, καὶ κουφίζεται πτέρωμα, τὸ τῶν ἀνθρωπίνων ἐξίπτασθαι καθ' ἡμέραν ἐθιζόμενον σπουδασμάτων· B ἐπειδὴ γὰρ πανήγυριν τὸν βίον ἡμῶν σοφῶν παῖδες εἰρήκασιν εἶναι, ἡμᾶς δὲ τὸ δρᾶμα τῆς ἀληθείας, τὴν δικαιοσύνην, ἥκειν ὡς εἰς θέατρον ἐπιδειξομένους, ἀντηχούντων ἡμῖν καὶ ἀνταγωνιζομένων τοῦ διαβόλου καὶ τῶν δαιμόνων· ἀναβλέποντας ἄνω δεῖ, καὶ ἀντιπταμένους C μετεωρίζεσθαι, καὶ φεύγειν τὰ θέλγητρα τῆς καλλιφωνίας αὐτῶν καὶ τὰ σχήματα, ἔξωθεν φαντασίᾳ σωφροσύνης ἐπικεχρωσμένα, ἢ τὰς σειρῆνας μᾶλλον τὰς ὁμηρικάς· κηλούμενοι γὰρ ταῖς ἡδοναῖς τῆς πλάνης πτερορρυοῦσι D πολλοί, καὶ βαρύνονται εἰς τὸν καθ' ἡμᾶς βίον ἥκοντες, χαυνωθέντων αὐτοῖς καὶ χαλασθέντων τῶν τόνων, καθ' οὓς ἡ τῶν πτερῶν τῆς σωφροσύνης συγκρατεῖται φύσις, κουφίζουσα τὰ κάτω νεύοντα περὶ τὴν φθο-

A pote quę ſola poſſeſſorem ſuum, incorruptis eius initiatum ſacris Deo efficit ſimilem, quo bono maius nullum reperiri poteſt, & à voluptatis doloríſque perturbationibus æquè ſeiunctam. Cuius irrigatione velut quadã aucta & vegetata vis animæ, volucrem mirabiliter leuitatem concipit, per quam B euecta ſupra regionem, & conſuetum modum quotidianarum homini curarum, altè ad cæli viciniam extollitur. Quoniam enim panegyrim vitam eſſe noſtram ſapientes dixerunt; nos autem quaſi perſonas ſcenæ iuſtitiam veritatis in theatrum dantes; contra nitentibus & diC uerſo ſpectaculo auertere ad ſe oculos & plauſus contendentibus, diabolo & dæmonibus æmulis noſtris: expedit, ne nos quoq; pellacibus pompis rapiamur; tollere ad cælum oculos, & ſublimi volatu fugere illecebras dulcium vocum, ſpecioD ſique choragij fulgores, exterius inducto probitatis honeſtæ tectorio fœdiſſima vitia celantes; & Sirenum arte Homericarum vitæ ac ſaluti publicæ inſidiantes: non ſine pernicie multorum, qui ſæuis deliniti blanditiis atque ad erroris voluptates adhæreſcentes, pennis velut diffluentibus grauantur deorſum, & ex ætheriâ profeſſionis diuinæ ſublimitate in vitæ vulgaris humilitatem relabuntur, relaxatis & languidâ mollitie reſolutis neruis illis alarum, quibus generoſæ Virginitatis corroboratur cæleſtis indoles, inde ſatis valens ad inhibendam ſurſúmque leuandam molem corporum in corruptio-

nem pronam. Hinc tibi, ô A- A
rete, nomen eſt, ſic dictæ, vel
quòd per te ipſam αἱρετὴ eligi-
bilis, eligíque digna es hone-
ſtate innata propriáque tibi;
vel quòd αἴρεις attollis, & cælum
verſus ſubleuas candidiſſimas,
quibus ſemper inueheris, men-
tes. Eſto ergo mihi particeps ad-
iutrixque ſermonis quem nutu
imperióque ſum ingreſſa tuo. B
Qui enim defluxum, quem dixi,
pennarum paſſi, in voluptates
deciderint, non priùs dolere ac
laborare deſinunt, quàm im-
pulſu concupiſcentiæ vehe-
menti ad explenda pertracti de-
ſideria nequitiæ, excluſi ſacris,
& myſteriorum veritatis exu-
les, ex ſacrâ in quam erant pro-
ducti, ſcenâ exturbati, eo de-
decoris miſeriæque delabun- C
tur, vt ne in coniugij quidem
honorabilis ſtatione permanen-
tes, in ſæuè dulcibus tragico-
rum amorum per horribilia fla-
gitia furoribus voluteutur. Quę
verò heroïcæ beatæque animæ
alacri expeditóque ſuſpenſæ
Virginearum alarum niſu, in
ſupermundanam vitæ regio-
nem viſum curſúmque direxe- D
rint, intuitæ procul, quæ ne-
mo alius hominum vidit, pra-
ta ipſa & viridaria incorruptio-
nis, & ſpecie mirâ immorta-
lium florum, plenâ copiâ, ni-
tentes hortos; ſemper animo
verſant ea, quæ illic oſtenduntur, ſpectacula: quo fit, vt tan-
quam vilia deſpiciant quæ hîc putantur pulcra, opes, honores,
nobilitatem, nuptias: nec quidquam eorum æſtimatione ali-
quâ dignentur. Quin & ſi quis corpora eorum feris flammíſve

A ραὶ τῶν σωμάτων. ὅθεν, ὦ Ἀρετὴ,
εἴτε ὅτι δι' ἑαυτὴν αἱρετὴ, εἴτε διὰ
τὸ αἴρειν καὶ μετεωρίζειν πρὸς
οὐρανὸν, ταύτην ἔσχηκας τὴν ἐ-
πωνυμίαν ἐπὶ λευκοτάτων ἀεὶ
βαίνουσα φρενῶν, ἴθι μοι συναν-
τιλαμβανομένη τοῦ λόγου, ὃν αὐτὴ
προσέταξας εἰπεῖν. Οἱ γὰρ πτερορ-
ρυήσαντες, καὶ πεσόντες εἰς τὰς ἡ-
B δονὰς, οὐ πρότερον λήγουσι λύ-
πης καὶ πόνων, ἕως τὰ αὐτῶν τῇ τοῦ πά-
θους ἐπιθυμίᾳ τὴν ἀνάγκην ἐκ-
πληροῦντες τῆς ἀκρασίας, ἀμύη-
τοι καὶ ἀτελεῖς τοῦ τῆς ἀληθείας ἀπο-
μείνωσι δράματος, ἀντὶ τῆς μετ'
αἰδοῦς καὶ σωφροσύνης παιδοποιή-
σεως, ἀγρίαις ἐρώτων λυττήσαν-
τες ἡδοναῖς· αἱ δὲ εὔπτεροι καὶ
C κοῦφαι εἰς τὸν ὑπερκόσμιον τό-
πον ὑπερκύψασαι τοῦ βίου, καὶ
ἰδοῦσαι πόῤῥωθεν ἃ μὴ ἕτερος
ἀνθρώπων ἐθεάσατο, τοὺς λει-
μῶνας αὐτοὺς τῆς ἀφθαρσίας,
ἀμήχανα κάλλη καὶ ἄνθη φέ-
ροντας, καὶ πεπληρωμένους, ἀεὶ
πρὸς αὐτοῖς εἰσιν ἀναπολοῦσαι τὰ
ἐκεῖ θεάματα, καὶ διὰ τοῦτο μικρὰ
D ἡγοῦνται τὰ ἐνταῦθα νομιζόμενα
καλὰ, πλούτους, καὶ δόξας, καὶ γένη,
καὶ γάμους· καὶ οὐδὲν ἔτι ἐκείνων
περὶ πλείονος ποιοῦνται· ἀλλὰ καὶ
εἴ τις αὐτῶν θηρίοις ἢ πυρὶ βούλοιτο

τὰ

τὰ σώματα παραδιδόναι, καὶ τι- A μωρεῖσθαι, ἑτοίμως ἔχουσι τῶν ἀλγηδόνων ἀφροντιστεῖν διὰ τὸν ἐκείνων πόθον, καὶ τὴν ἐκείνων ἔκπληξιν· ὥστε δοκεῖν αὐτὰς, καὶ ἐν κόσμῳ οὔσας, μὴ εἶναι ἐν κόσμῳ, ἀλλὰ τῷ φρονήματι καὶ τῇ ὁρμῇ τῆς ἐπιθυμίας εἰς τὴν ἀγέλην ἤδη τῶν ἀστέρων ἐν τοῖς οὐρανοῖς τυγχάνειν· οὐ γὰρ θέμις B ἐπὶ γῆς βρίθειν κατὰ τὴν ἑαυτοῦ φύσιν τὸ τῆς παρθενίας πτερὸν, ἀλλ᾽ ἄνω φέρειν εἰς οὐρανὸν, εἰς καθαρὸν αἰθέρα, καὶ τὸν τῶν ἀγγέλων γείτονα βίον· ὅθεν καὶ πρῶται τῶν ἄλλων, μετὰ τὴν ἀνάκλησιν καὶ τὴν ἐντεῦθεν ἐκδημίαν, αἱ ὀρθῶς καὶ πιστῶς παρθενεύουσαι τῷ Χριστῷ, τὰ νικητήρια φέ- C ρονται τῶν ἄθλων, τοῖς τῆς ἀφθαρσίας ἄνθεσι στεφθεῖσαι παρ᾽ αὐτοῦ· ἅμα γὰρ τῷ καταλεῖψαι τὸν κόσμον τὰς ψυχὰς λόγος τοῖς παρθένοις ὑπαντῶντας ἀγγέλους μετὰ πολλῆς εὐφημίας εἰς τοὺς προειρημένους παραπέμπειν λειμῶνας αὐτὰς, εἰς οὓς καὶ πρόσθεν ἐλθεῖν ἐγλίχοντο, μακρόθεν D αὐτοὺς φαντασιωθεῖσαι τότε, ὁπότε ἔτι ἐνδημοῦσαι τοῖς σώμασιν, ἰνδάλλοντο τὰ θεῖα· ἐνταῦθα δὴ ἐλθούσας, θαυμαστά τινα θεά-

A obiicere voluerit, diríſque excarnificare ſuppliciis, quantamvis acerbitatem tormentorum parati expectant ſecuríque. adeò iſta, de quâ dixi, pulcherrimâ ſpecie perculſi correptíque, nihil admirari, ne videre quidem poſſunt rerum mundi, in quo ita ſunt vt longè abeſſe videantur; ac iam mentis B altitudine nobiliúmque deſideriorum impetu rapi ſuper aſtra in cælíſque verſari. Non enim fas eſt in terram vergere contra ſuæ indolem naturæ Virginitatis alam: cuius potiùs & officium & innata proprietas eſt, hominem ad cælum purúmque æthera, viciniámque Angelicæ vitæ tollere. Vnde priores cæteris poſtquam hinc euo- C catæ per mortem ſunt quæ rectè fidelitérque Virginitatem coluerunt, victoriæ coronas certaminum contentioni reſpondentes à Chriſto conſequuntur, immortalitatis redimitæ floribus ipſâ eius manu. Siquidem ſimul felices illæ animæ ſolutæ corporibus mundum reliquerint, præſto ecce adſunt D virgines virginibus obuiam feſtiuè procurrentes Angeli, ambitioſo famulatu deducturi eas, in ipſas de quibus memorauimus amœniſſimas, nec fruſtra ipſis procul trans vitæ nebulam viſas, & conſtanti deſiderio concupitas ſedes: quando fruſtra obſtante craſſitie corporum, quibus adhuc deuinctæ tenebantur, lynceam perſpicacitatem illuminatarum mentium in diuinas tamen formas admittebant. Iam verò illuc perductis fruenda offeruntur

A illuſtriſſimarum, & ſupra quam homines ſuſpicari poſſunt, admirabilium beatiſſima ſpectacula pulcritudinum. Ipſa quippe illîc iuſtitia, ipſa prudentia, ipſa ſeſe palam monſtrat indulgétque cum caritate veritas, & caſtitas; aliíque id genus ſpecioſiſſimi ſapientiæ flores ac fœtus. B quorum nos hîc vmbras ſolas imaginantes quaſi per ſomnium, putamus ex humanis conſtare operationibus: quoniam nullum ſuppetit ipſorum conſpicuum ſimulacrum; ſed deſignationes dumtaxat exiles, quas ipſas obſcurè, & veluti in caligine quadam, à nobis delineari, ipſi plerumque ſentimus. Non enim vnquam in vita mortali C iuſtitiæ, prudentiæ, tranquillitatis ipſius veram ſpeciem, habitum, magnitudinem informauit quiſquam oculo mentis aut corporis: quæ illic coram & verè, quantæ qualéſque ſunt palam cernuntur. Eſt, inquam, in iſtis Elyſiis beatóque Paradiſo ſylua ſpecioſè vernans diuina- D rum arborum, continentiæ ipſius, ipſius caritatis, ipſius prudentiæ: quali modo amœna terrarum Tempe laudatis illis decorantur plantis, & ſpecie ramorum, & fructuum ſuauitate commendatis, puta vitis, malogranati, malorum omnis generis. Quarum vt hîc & virore ad aſpectum, & ſapore ad guſtum homines fruuntur, & eo ſe beatos putant: ſic iſtarum naturæ haud paulo melioris arborum, tranſlatæ in cæleſtem vitam animæ, ſpectacula præclara ſuauiſſimóſque fructus capiunt, cum eâ felici differentiâ, quòd harum nec copia deficit, nec amœnitas de-

A σαθαι, καὶ ἐκλαμπρα, καὶ μακάρια κάλλη, ἃ ὁποῖα ἐξειπεῖν εἰς ἀνθρώπους δυσχερές· εἶναι γὰρ αὐτὴν δικαιοσύνην, καὶ αὐτὴν φρόνησιν, ἀγάπην αὐτὴν ἐκεῖ, καὶ ἀλήθειαν, καὶ σωφροσύνην, καὶ τὰ ἄλλα ὡσαύτως ἐπιφανῆ τῆς σοφίας ἄνθη καὶ φυτὰ, B ὧν ἡμεῖς ἐνθάδε σκιὰς μόνας φασματώδεις ὀνειρώσσοντες, ἀπὸ τῶν πράξεων ἡγούμεθα τῶν ἀνθρωπίνων συνεστάναι, ὅτι μὴ ἔστιν αὐτῶν δεῦρο μηδὲν εἴδωλον καταφανὲς, ἀλλ' ἀπεικονίσματα μόνον ἀειδῆ, ἃ δὴ καὶ αὐτὰ σκοτεινῶς πολλάκις ἀπεικάζοντες αἰσθανόμεθα. οὐ γὰρ ἂν πώποτε δικαιοσύνης αὐτῆς, ἢ συνέ- C σεως, ἢ εἰρήνης, ὀφθαλμοῖς ἐθεάσατό τις μέγεθος, ἢ σχῆμα, ἢ κάλλος. ἐκεῖ δὲ ἐν τῷ ὄντι, ὡς εἰσὶν ὁλοτελῆ βλέπονται καὶ σαφῆ. εἶναι γὰρ δένδρον τι σωφροσύνης αὐτῆς, ἔτι ἀγάπης, εἶναι συνέσεως, ὥσπερ καὶ τῶν ἐνθάδε τὰ φυτὰ D καρπῶν, οἷον σταφυλῆς, ῥοιᾶς, καὶ μήλων, οὕτω δὴ κἀκείνων βλέπεσθαι μὲν καὶ ἐσθίεσθαι τοὺς καρπούς, οὐ μὴν ἀπόλλυσθαι καὶ φθί-

νειν, ἀλλ' εἰς ἀθανασίαν αὔξειν καὶ θειότητα τοὺς δρεπομένους καθὼς κἀκεῖνος, ἐξ οὗ πάντες ἐσμέν, πρὸ τοῦ παραπεσεῖν, καὶ πηρωθῆναι τὰς ὄψεις, ἐν τῷ παραδείσῳ τυγχάνων ἀπεκαρπεύετο, τοῦ θεοῦ θεμιστεύσαντος τὸν ἄνθρωπον τὴν τῆς σοφίας ἐργάτην εἶναι καὶ φύλακα φυτῶν. τούτους γὰρ ἦν καρποὺς πεπιστευμένος γεωργεῖν καὶ ὁ πρῶτος Ἀδάμ· καὶ ὁ Ἱερεμίας δὲ ταῦτα τυγχάνειν ἰδίως ἔν τινι τόπῳ καὶ ἀφεστῶτι μεγάλην ἀπόστασιν τῆς καθ' ἡμᾶς οἰκουμένης, οἶδεν· ἔνθα τοὺς ἐξολισθήσαντας τῶν αἰώνων ἀγαθῶν κατοικτίζων, λέγει· μάθετε ποῦ ἐστι φρόνησις, ποῦ ἐστιν ἰσχύς, ποῦ ἐστιν ἡ σύνεσις, τοῦ γνῶναι ἅμα, ποῦ ἐστι μακροβίωσις καὶ ζωή, ποῦ ἐστι φῶς ὀφθαλμῶν καὶ εἰρήνη· τίς εὗρε τόπον αὐτῆς, ἢ τίς εἰσῆλθεν εἰς θησαυροὺς αὐτῶν; τούτων οὖν διελθούσας εἰς τοὺς θησαυροὺς ἀποκαρπεύεσθαι λόγος τῶν ἀρετῶν τὰς παρθένους, εὐτάκτοις φωσὶ καὶ πολλοῖς καταρδομένας, ἃ δίκην πηγῆς αὐταῖς ὁ θεὸς ἀναβλύζεται καταλάμπων ἐκεῖνον τὸν αἰῶνα φωσὶν ἀδύτοις· ἀεὶ δὲ χορεύουσιν ἐμμελῶς γεραίρουσαι τὸν θεόν. περικέχυται γὰρ αὐταῖς ἀὴρ καθαρός, καὶ μὴ καθιπταζόμενος ἡλίῳ. νῦν οὖν, ὦ παρθένοι, σωφροσύνης ἀχράντου θυγα-

A fluit : ſed æternæ ipſæ diuinæque, vtentes ipſis veſcentéſque in immortalitatem alunt, æternitatem eis diuinitatémque communicantes. Talis cuiuſdam felicitatis vſuram ille primus, ex quo ſumus omnes, homo habuit vitio ſuo breuem, ante videlicet quàm oculorum quibus iſta ſentiuntur, meretur priuatione cæcari. Deus B enim ſic inſtituerat, vt plantarum ſapientiæ cuſtos cultórque homo eſſet. Talium quippe arborum concredita homini primo cultura fuerat. Et hæc reperiri intellexit Ieremias ſeorſim, in loco quodam, qui ab orbe noſtro longè diſiunctus eſt. Sic enim ait vbi eorum miſeriam deplorat, qui æui beati bonis exciderunt. C *Diſcite vbi ſit prudentia, vbi ſit virtus, vbi ſit intellectus: vt ſcias ſimul, vbi ſit longiturnitas vitæ & victus, vbi ſit lumen oculorum & pax. quis inuenit locum eius? & quis intrauit in theſauros eorum?* Horum nempe in theſauros ingreſſæ Virgines, decerpunt de virtutibus; multis & bene or- D dinatis irrigatæ luminibus, quę inſtar fontis Deus ipſis infundit, colluſtrans illud æuum luce inacceſſibili: ſemper autem choros agunt, modulatè laudantes Deum. Circumfunditur autem ipſis aër purus, nec ſplendorem ſuum debens ſuper equitanti ſoli. Nunc ergo, Virgines, caſtitatis incorruptæ fi-

Baruch. 3.14.

liæ, de vita omnibus bonis A beatâ, déque cælorum regno contentio vobis eſt. Eia in eandem Virginitatis intemeratæ laudem cum prioribus vos quoque conſpirate, parum curantes vitæ fructum ac coniugij. Non enim exiguam facultatem Virginitas præbet facilè aſſequendæ incorruptionis: quippe quæ excitatam humo B carnem in altum eleuet, redundantes eius humores ſiccet, lutulentámque grauitatem leuitatis impreſſione fortioris vincat. Neque vos ſordidarum & peccare docentium auditus vllus fabularum inclinet ad terram. Nec mœror gaudium interpolet: conſcitæ pudore culpæ ſpei beatæ præceptam lætitiam extorquente. C Sed conſtanti perſeuerantiâ laboris, excutite ingruentes in vos clades, non funeſtantes luctu ſerenitatem placidæ mentis. Vincat enim fides per omnia, & lux eius repellat quæ mali miſſu dæmonis circa cor nundinantia ſeſe ingerunt fœda ſimulacra. Nimirum vt quando ſerenam noctem plena illuſtrans luna, affuſis ab occaſu D denſis atríſque nubibus ad tempus occulitur, non aufertur tamen: quippe ſtatim vi venti difflatis nubibus, mundo clara redditur. Sic & vos lucem Virginitatis oſtendentes mundo, etſi anguſtiis & laboribus vexamini, ne tamen, ne quæſo, Virgines, circa ſpem ve-

A τέρες, ὑπὲρ ζωῆς ἡμῖν ἀφθόνου, καὶ βασιλείας οὐρανῶν ἡ σπουδή· εἰς τὴν αὐτὴν δόξαν τῆς ἁγνείας καὶ ὑμεῖς προθύμως ταῖς πρὸ ὑμῶν συμφρονήσατε, ὀλίγα φροντίσασαι τοῦ βίου· οὐ γὰρ μικρὸν εἰς ῥαστώνην ἀφθαρσίας, ἁγνεία, ἀνωφερῆ τὴν σάρκα πρὸς ὕψος αἴρουσα, καὶ B τὸ καθυγρὸν αὐτῆς ἀναξηραίνουσα, καὶ πηλῶδες βάρος ὁλκῇ μείζονι· μηδὲ βελθέτω τῆς ἀκοῆς ὁ ῥύπος, ῥέπων εἰς τὴν γῆν· μηδὲ μετακοσμείτω λύπη τὴν χαρὰν, ἐκτήκουσα τὰς ἐπὶ τοῖς κρείττοσιν ἐλπίδας· ἀλλὰ ἀτρύχως ἀποσείεσθε τὰς ἐπισυμβαινούσας ὑμῖν συμφορὰς, C μὴ θολοῦσαι γόοις τὸν λογισμόν· νικάτω γὰρ ἡ πίστις πάντη, καὶ ἀπωθείσθω τὸ φῶς αὐτῆς τὰ φερόμενα τοῦ πονηροῦ περὶ τὴν καρδίαν φάσματα· ὥσπερ γὰρ ὅταν ἡ σελήνη τὸν οὐρανὸν αἴγλης ἐκλάμψασα πληρώσῃ, καὶ πᾶς ὁ ἀὴρ αἴθριος γένηται, ἄφνω δὲ νεφέλαι ποθὲν ἐκ δυσμῶν D ὑποδραμοῦσαι βάσκανοι, τὸ φῶς αὐτῆς πρὸς ὀλίγον ἐπισκιάζωσιν; οὐ μὴν ἀφαιροῦνται· ἅτε εὐθέως τῇ ῥύμῃ τοῦ πνεύματος ἐξωθούμεναι· οὕτω δὴ καὶ ὑμεῖς ἐν τῷ κόσμῳ λάμπουσαι τὴν ἁγνείαν, ὑπὸ θλίψεων ὀχληθεῖσαι καὶ πόνων, ὦ παρθένοι, μὴ ἐκλάσητε πρὸς

τὰς ἐλπίδας. ἐξωθοῦνται γὰρ τῷ πνεύματι τὰ ἐκ τοῦ πονηροῦ νέφη· ἐὰν ὥσπερ ἡ μήτηρ ὑμῶν, καὶ ὑμεῖς, ἡ γεννῶσα τὸν ἄῤῥενα παρθένον ἐν τῷ οὐρανῷ, μὴ δειλιάσητε λοχῶντα καὶ ἐφεδρεύοντα τὸν ὄφιν· περὶ ἧς ἐγὼ πρὸς ὑμᾶς ἀμηγέπῃ διεξελεύσομαι δηλοῦσα· καιρὸς γὰρ τὰ νῦν. καὶ ὤφθη μέγα σημεῖον ἐν τῷ οὐρανῷ, τὴν ἀποκάλυψιν ὁ Ἰωάννης ἐξηγούμενος λέγει, γυνὴ περιβεβλημένη τὸν ἥλιον, καὶ ἡ σελήνη ὑποκάτω τῶν ποδῶν αὐτῆς· καὶ ἐπὶ τῆς κεφαλῆς αὐτῆς στέφανος ἀστέρων δώδεκα, καὶ ἐν γαστρὶ ἔχουσα κράζει ὠδίνουσα, καὶ βασανιζομένη τεκεῖν· καὶ ὤφθη ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ, καὶ ἰδοὺ δράκων πυῤῥὸς, μέγας, ἔχων κεφαλὰς ἑπτὰ, καὶ κέρατα δέκα· καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ ἑπτὰ διαδήματα· καὶ ἡ οὐρὰ αὐτοῦ σύρει τὸ τρίτον μέρος τῶν ἀστέρων τοῦ οὐρανοῦ, καὶ ἔβαλεν αὐτοὺς εἰς τὴν γῆν. καὶ ὁ δράκων ἕστηκεν ἐνώπιον τῆς γυναικὸς, τῆς μελλούσης ἐκτεκεῖν, ἵνα ὅταν τέκῃ, τὸ τέκνον αὐτῆς καταφάγῃ· καὶ ἔτεκεν υἱὸν ἄῤῥενα, ὃς μέλλει ποιμανεῖν πάντα τὰ ἔθνη ἐν ῥάβδῳ σιδηρᾷ, καὶ ἡρπάγη τὸ τέκνον αὐτῆς πρὸς τὸν θεὸν, καὶ πρὸς τὸν θρόνον αὐτοῦ· καὶ ἡ γυνὴ ἔφυγεν εἰς τὴν ἔρημον, ὅπου ἔχει ἐκεῖ τόπον ἡτοιμασμένον ὑπὸ τοῦ θεοῦ, ἵνα ἐκεῖ τρέφωσιν αὐτὴν, ἡμέρας χιλίας διακοσίας ἑξήκοντα. τὰ μὲν οὖν περὶ τῆς γυναικὸς ἱστορούμενα, καὶ τοῦ δράκοντος, ὡς ἐν ἐπιτομῇ, τέλος ἔχει·

A ſtram titubetis. Spiritus mox aderit difflaturus diabolicas nubes: ſi vos, quemadmodum mater veſtra, illa maſculum Virginem in cælo pariens, infenſi anguis inſidias minimè metuatis. De qua ego quidem muliere diſtinctiùs vobis diſſerere conſtitui: ídque agen-
B di tempus hoc eſt. *Signum magnum apparuit in cælo*, ait in Apocalypſi Ioannes. *Mulier amicta ſole, & luna ſub pedibus eius, & in capite eius corona ſtellarum duodecim. & in vtero habens clamabat parturiens, & cruciabatur vt pariat: & viſum eſt aliud ſignum in cælo: & ecce Draco magnus, rufus, habens capita ſeptem &*
C *cornua decem, & in capitibus eius diademata ſeptem, & cauda eius trahebat tertiam partem ſtellarum cæli. & miſit eas in terram. & draco ſtetit ante mulierem, quæ erat paritura: vt cùm peperiſſet, filium eius deuoraret. Et peperit filium maſculum, qui recturus erat omnes*
D *gentes in virgâ ferreâ. & raptus eſt filius eius ad Deum, & ad thronum eius. & mulier fugit in ſolitudinem, vbi habebat locum paratum à Deo, vt ibi paſcant eam diebus mille ducentis ſexaginta.* Hæc ibi ſummatim de muliere & dracone,

Apoc. 12.

quorum interpretationem ex- A cogitare maius eſt quiddam noſtris viribus. Experiamur tamen ei fidentes, qui iuſſit vt ſcripturas ſcrutaremur. Cuius ſententiæ ſi eſtis vos quoque, nihil verebor ad rem aggredi, paratam à vobis habens ſpem veniæ, ſi fortè ad intimè penetrandam ſcripturæ arcanam mentem peruenire neutiquam potuero. B Quæ apparuit amicta ſole in cælo mulier, coronata ſtellis duodecim, cui ad pedes luna ſubſidet, quæ parturit & cruciatur vt pariat, ipſa propriè eſt ſecundum exactam intelligentiam Mater veſtra, ô Virgines, virtus quædam in ſeipſa exiſtens diuerſa à filiis: quam interdum Prophetæ diuerſa diſiunctáque ſimul in- C tuentes Ieruſalem appellant, interdum ſponſam, aliquando Sion montem, nonnumquam templum & tabernaculum Dei. Nam quæ ſtudet cupítque illuminari vis apud Prophetam, inclamante ipſi ſpiritu,

Iſ. 60. *Illuminare, illuminare, Ieruſalem quia venit lumen tuum, & gloria Domini ſuper te orta eſt.* D *Ecce tenebræ operient terram & caligo populos. Super te autem orietur Dominus, & gloria eius in te videbitur. Et ambulabunt reges in lumine tuo, & gentes in ſplendore ortus tui. Leua in circuitu oculos tuos & vide, omnes iſti congregati ſunt, venerunt tibi. Filÿ tui de longè venient, & filiæ tuæ de latere*

A περὶ δὲ τὴν τελὴν ἐπίλυσιν αὐτῶν διαβῆναι καὶ εἰπεῖν, μεῖζόν ἢ καθ' ἡμᾶς· ὅμως τολμητέον, πιστεύσασιν τῷ κελεύσαντι τὰς γραφὰς ἐρευνᾷν. εἰ οὖν καὶ σφῶν τὰ λεγόμενα συνδοκεῖ, χαλεπὸν οὐδὲν ἤδη στείλασθαι· πάντως γὰρ συγγνώσεσθε, πρὸς τὴν ἀκρίβειαν τῆς γραφῆς, ἐὰν μὴ δυνηθῶ διαρκέσαι. ἡ ὀφθεῖσα B περιβεβλημένη τὸν ἥλιον ἐν τῷ οὐρανῷ γυνή, καὶ στέφανον ἐξ ἀστέρων περικειμένη δώδεκα, ἧς τὴν ἕδραν εἶχεν ἡ σελήνη πρὸς τοῖς ποσί, καὶ ὠδίνουσα, καὶ βασανιζομένη τεκεῖν, αὕτη κυρίως ἐστὶ κατὰ τὸν ἀκριβῆ λόγον μήτηρ ὑμῶν, ὦ παρθένοι, δύναμίς τις οὖσα καθ' ἑαυτὴν ἑτέρα τῶν τέκνων· ἣν ὁτὲ μὲν Ἱερουσαλὴμ C οἱ προφῆται, κατὰ τὴν σύνοψιν τῶν ἐπιφερομένων, ὁτὲ δὲ νύμφην, ὁτὲ δὲ Σιὼν ὄρος, ὁτὲ δὲ ναὸν καὶ σκηνὴν θεοῦ κεκλήκασιν· ἡ γὰρ παρωρμημένη φωτίζεσθαι δύναμις ἐν τῷ προφήτῃ, φωτίζου, κεκραγότος αὐτῇ τοῦ πνεύματος, Ἱερουσαλήμ, ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα κυρίου ἐπὶ σὲ ἀνατέταλκεν· ἰδοὺ καλύψει D σκότος καὶ γνόφος γῆν, καλύψει ἐπ' ἔθνη, ἐπὶ δὲ σὲ φανήσεται κύριος, καὶ ἡ δόξα αὐτοῦ ἐπὶ σὲ ὀφθήσεται, καὶ πορεύσονται βασιλεῖς τῷ φωτί σου, καὶ ἔθνη τῇ λαμπρότητί σου· ἀνάβλεψον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε συνηγμένα τὰ τέκνα σου· ἥκασι πάντες οἱ υἱοί σου μακρόθεν, καὶ αἱ θυγατέρες σου ἐπ' ὤμων

ἐγερθήσονται· ἔστιν ἡ ἐκκλησία, ἧς A τὰ τέκνα πασσυδὶ μετὰ τὴν ἀνάστασιν πάντοθεν πρὸς αὐτὴν ἥξει, καταθέοντα αὐτῇ· δεχομένη τε τὸ φῶς τὸ ἀνέσπερον, τὴν λαμπρότητα, στολῆς σχήματι; περιβεβλημένη τοῦ λόγου, ἥδεται· ποίῳ γὰρ ἄλλῳ τιμαλφεστέρῳ κόσμῳ ἢ τιμιωτέρῳ τὴν βασίλισσαν ἔπρεπε κοσμηθεῖσαν B νυμφαγωγηθῆναι τῷ κυρίῳ, φῶς ὡς ἱμάτιον λαβοῦσαν; διὸ καὶ αὐτὴν ὑπὸ τοῦ πατρὸς ἀνακληθῆναι· ἴτε γὰρ, ἀναβᾶσαι τῷ λόγῳ, θεάσασθε, ὥσπερ τὰς πρὸς γάμον παρθένους, γυναῖκα μεγάλην, καθαρὸν καὶ ἄχραντον ὅλον καὶ μόνιμον κάλλος, καὶ οὐδὲν ἐλαττούμενον τῆς λαμ- C πρότητος τῶν φώτων ἀποστίλβουσαν· καὶ ἀντὶ μὲν στολῆς αὐτὸ φῶς ἠμφιεσμένην, ἀντὶ δὲ λίθων τιμίων ἀστράσι φαιδροῖς τὴν κεφαλὴν κεκοσμημένην. ὃ γὰρ ἡμῖν ἐσθὴς, τοῦτο ἐκείνῃ φῶς, ὃ δὲ ἡμῖν χρυσὸς, ἢ διαφανεῖς λίθοι, τοῦτο ἐκείνῃ ἄστρα· ἄστρα δὲ οὐχ ὁποῖα ταῦτα τὰ ἐν τῷ ὁρατῷ κεί- D μενα τόπῳ, ἀλλά τινα κρείττω καὶ διαφεγγέστερα, ὥστε εἰκόνας ἐκείνων μᾶλλον νομίζεσθαι ταῦτα καὶ ἀπεικάσματα· βεβηκέναι ἐπὶ τῆς σελήνης· σελήνην, ὡς ἡγοῦμαι, τὴν πίστιν σχηματικῶς τῶν ἀποκαθαιρομένων τὴν φθορὰν τῷ λουτρῷ λέγων, διὰ τὸ προσεοικέναι

A *ſurgent* : eſt Eccleſia, cuius filij magno vndique concurſu poſt reſurrectionem ad ipſam venient, concurrentia in ſinum eius : quæ lumen accipiens inocciduum, gaudet ſtolæ ritu Verbi ſplendorem induta. Nam quo alio pretioſiori ſpecioſiorive ornatu comptam eam adduci B ſponſam decebat Domino, quàm luce pro veſtimento circumdatam ? cuius ornamenti etiam reſpectu à Patre vocata fuerit. Agite enim, in altum euectæ mentis alis contemplamini, vt ſolent eſſe ſpectaculo nuptiali comptæ ornatu Virgines, mulierem grandem, immaculatam totam., ſtabilem quandam pulcritudinem, ni- C hilque minus quàm radios lucis ſplendidæ vndique vibrantem : & pro ſtola quidem, luce veſtitam ; pro lapidibus autem pretioſis, ſplendentibus ſtellis circum caput ornatam. Quod enim nobis veſtis, hoc illi lux : & quod nobis aurum, aut pellucidi lapilli, hoc illi ſtellæ. Stellæ verò non vulgares iſtæ, D quales ſerenâ nocte ſe oculis oſtentant; ſed aliæ potiores lucidioréſque : adeo vt hæ, quas cernimus, illarum nihil niſi figuræ ſimulacráque imperfecta videantur. Iam calcare lunam mulier dicitur. Lunæ ſymbolo fidem, ni fallor, innuens eorum, qui per lauacrum à corruptione purgantur. Propterea quòd eius lumen ſimile vi-

detur aquæ tepidæ : & omnia quæ naturæ ſunt humidæ ex eâ pendent. Inſiſtit igitur ſupra fidem, & perſuaſionem noſtram Eccleſia, quaſi ſupra plenam quandam lunæ ſpeciem ; donec ſub introeat plenitudo gentium : parturiens & regenerans animales in ſpirituales, ſecundum rationem quâ mater eſt. Vt enim informe viri ſemen quæ concepit mulier, certo menſium orbe perfectum hominem efformat : ſimiliter quis dixerit eos, qui ad Verbum confugiunt, ſemper conceptos ab Eccleſiâ, & ad Chriſti ſimilitudinem exemplari eius inſpecto formatos, certis temporum effici periodis ciues beatorum illorum ſæculorum. Quare illam eſſe in lauacro neceſſe eſt, eos qui lauantur generantem. Hoc enim modo & σελήνη, hoc eſt luna, vocatur ea quam circa lauacrum obtinet vis : quoniam νέον σέλας, nouum iubar, renouati qui regenerantur, hoc eſt, nouam lucem ſpargunt. Vnde & de nouo illuminati per quandam circumlocutionem vocantur : quâ ſpirituale plenilunium iam in ipſis per memoriam paſſionis inchoatum, certo temporum orbe conſummandum deſignatur ; interim autem præfigurandum, quoad lumen perfectum oriatur magnæ diei. Si verò quis (non enim graue ſit diſertè omnia exprimere) non acquieſcens modò dictis, con-

A τὸ φῶς αὐτῆς μᾶλλον ὕδατι λιαρῷ, καὶ πᾶσαν ἐξ αὐτῆς ἠρτῆσθαι τὴν ὑγρὰν οὐσίαν. ἐφέστηκεν οὖν ἐπὶ τῆς πίστεως καὶ προσλήψεως ἡμῶν ἡ ἐκκλησία κατὰ τὴν τῆς σελήνης συνόψιν, μέχρις ἂν εἰσέλθῃ τὸ πλήρωμα τῶν ἐθνῶν· ὠδίνουσα καὶ ἀναγεννῶσα τοὺς ψυχικοὺς εἰς πνευματι-
B κούς, καθ' ὃν λόγον καὶ μήτηρ ἐστίν· ὥσπερ γὰρ σπορὰν ἀνδρὸς ἀμόρφωτον ὑποδεξαμένη γυνή, περιόδοις χρόνων ἄνθρωπον ὁλόκληρον ἀποκυεῖ· ταύτῃ δὴ καὶ τοὺς προσφυγόντας τῷ λόγῳ φήσειεν ἄν τις συλλαβοῦσαν ἀεὶ τὴν ἐκκλησίαν, καὶ τὴν καθ' ὁμοίωσιν ἰδέαν αὐτοὺς καὶ μόρφωσιν μορφοῦσαν τοῦ
C Χριστοῦ, περιόδοις χρόνων πολίτας μακαρίων ἐκείνων αἰώνων ἐργάζεσθαι· ὅθεν ἐξ ἀνάγκης αὐτὴν ἐφεστάναι δεῖ τῷ λουτρῷ τοὺς λουομένους γεννῶσαν. τούτῳ γὰρ καὶ σελήνη κέκληται τῷ τρόπῳ ἡ περὶ τὸ λουτρὸν αὐτῆς ἐνέργεια· ἐπειδὴ νέον σέλας ἀνανεαθέντες τε ἀναγεννώμενοι λάμπουσιν, ὅ ἐστι νέον
D φῶς· ὅθεν καὶ νεοφώτιστοι καλοῦνται περιφραστικῶς τὴν πνευματικὴν πανσέληνον αὐτοῖς κατὰ τὴν περίοδον τοῦ πάθους καὶ τὴν ἀνάμνησιν νέαν ἀεὶ περιφαινούσης· ἕως τ' ἂν αὐτῇ καὶ τὸ φῶς τὸ τέλειον ἀνατείλῃ τῆς μεγάλης ἡμέρας· ἐὰν δέ τις, οὐδὲν γὰρ χαλεπὸν ἔτι διαῤῥήδην εἰπεῖν, ἀγανακτήσας φέρηται πρὸς

τὰ

A τὰ εἰρημένα· καὶ πῶς ὑμῖν ἐξήγησις, ὦ παρθένοι, γίνεται κατὰ νοῦν τῆς γραφῆς, ὁπότε ἡ μὲν ἀποκάλυψις ἄρσενα τὴν Ἐκκλησίαν διορίζεται γεννᾶν, ὑμεῖς δὲ ἀπὸ τῶν ἀπολουτρουμένων παρειλήφατε τὰς τελεσφόρους ὠδῖνας αὐτῆς πληροῦσθαι λουομένας; λέξομεν. ἀλλ' ὦ φιλαίτιε, ἀλλ' οὐδέ B σοι πάρεστιν ἀποδεῖξαι τὸν Χριστὸν αὐτὸν εἶναι τὸν γεννώμενον· πάλαι γὰρ πρὸ τῆς ἀποκαλύψεως ἐπεπλήρωτο μυστήριον τῆς ἐνανθρωπήσεως τοῦ λόγου. ὁ δὲ Ἰωάννης περὶ παρόντων καὶ μελλόντων θεσμῳδεῖ· ὁ δὲ Χριστὸς πάλαι κυηθεὶς, οὐχ ἡρπάσθη, ὁπότε ἐτέχθη, πρὸς τὸν θρόνον τοῦ Θεοῦ, C φόβῳ τοῦ μὴ λυμήνασθαι αὐτὸν τὸν ὄφιν· ἀλλὰ διὰ τοῦτο ἐγεννήθη, καὶ κατῆλθεν αὐτὸς ἀπὸ τῶν θρόνων τοῦ πατρὸς, ἵνα τὸν δράκοντα χειρώσηται, μείνας ἐπιτρέχοντα τῇ σαρκί· ὥστε ἀνάγκη ὁμολογεῖν δὴ καὶ σὲ, τὴν ἐκκλησίαν εἶναι τὴν ὠδίνουσαν καὶ γεννῶσαν τοὺς ἀπολουτρουμένους, ὥς D που καὶ ἐν Ἡσαΐᾳ τὸ πνεῦμά φησι· πρὶν τὴν ὠδίνουσαν τεκεῖν, καὶ πρὶν ἐλθεῖν τὸν πόνον τῶν ὠδίνων, ἐξέφυγε καὶ ἔτεκεν ἄρσεν· τίς ἤκουσε τοιοῦτο; καὶ τίς ἑώρακεν οὕτως; εἰ ὤδινε γῆ ἐν μιᾷ ἡμέρᾳ, καὶ εἰ ἐγεννή-

tra excipiat. Quæ eſt hæc, quámque ad mentem ſcripturæ huius expoſitio, ô Virgines, cùm vtique Apocalypſis maſculum ab Eccleſiâ generari definiat: vos autem iſtum Eccleſiæ partum ita interpretamini, vt in iis qui per baptiſmum regenerantur impleri doceatis. Huic ita reſpondebimus. Atqui ne tibi quidem, vitilitigator argute, facile fuerit oſtendere Chriſtum eſſe ipſum iſtum maſculum, qui editus à muliere parturiente in lucem dicitur. Dudum ſiquidem ante Apocalypſim impletum eſt myſterium Incarnationis Verbi, quo Chriſtus eſt natus ex muliere. Porrò Ioannes non de præteritis, ſed de iis quæ vel tunc fierent, vel quæ olim euentura eſſent, loquitur. Præterea Chriſtus dudum conceptus, poſtquam deinde natus eſt, non eſt raptus ad thronum Dei, metu ne illi noceretur à ſerpente: quin potiùs ad hoc ipſum venit, & è Patris throno prodiit, vt draconis incurſum in carnem ſuam pateretur, & ſic eum ſubiugaret. Quarè te quoque fateri neceſſe eſt, Eccleſiam eſſe iſtam mulierem quæ parturit: fœtum autem eius eſſe illos, qui ei pat baptiſmum aggregantur. vt per Eſaïam ſpiritus dicit: *Priuſquam parturiret peperit, & antequam veniret partus eius, effugit &* Iſ. 66. 7.
peperit maſculum. Quis audiuit vmquam tale? aut quis vidit huic ſimile? Numquid parturiet terra in die vnâ? aut parie-

tur gens ſimul quia parturiuit Sion, & peperit maſculum? Quem effugit? non ſanè alium quàm draconem, vt generaret populum ſpiritualis Sion, marem;. qui nempe muliebribus ex vitiis, & mollitie, fortior exurgens in Domini vnitatem occurreret, maſculo robuſtus animi propoſito viriliſque conſtantiâ. Dicamus ergo hæc rurſus eadem, & ab initio reſumptâ continuâ ſerie, ad finem modò dicta diſtinctiùs exponendo deducamus. Attende igitur, an non ſic tibi ad rectam, & probabilem ſententiam locus hic explicari videatur. Ego marem tunc gigni ab Eccleſia puro dici, cùm conuerſi baptizantur: quoniam lineamenta, formam, virilémque Chriſti animum, ſumendo baptiſmo fideles concipiunt: vt fiat tunc in ipſis vera forma, expreſſáque imago vnigeniti, per certam cognitionem & fidem: ita vt in vnoquoque ſpiritualiter generetur Chriſtus. Ac propterea Eccleſia parturit enititúrque, donec formetur in nobis genitus Chriſtus: vt quiſque ſanctorum participando Chriſto Chriſtus fiat. Iuxta quem ſenſum in quadam ſcripturâ dicitur: *Nolite tangere Chriſtos meos, & in Prophetis meis nolite malignari.* Quaſi Chriſti verè ij ſint, qui per communicationem ſpiritus in Chriſtum baptizati fuerint, conferēte hîc tranſitum in Verbum, &

Pſ. 104. 15.

A θη ἔθνος εἰσάπαξ, ὅτι ὠδίνησε Σιὼν καὶ ἔτεκεν ἄρσενα; τίνα ἐξέφυγεν; ἢ πάντως τὸν δράκοντα, ἵνα γεννήσῃ τὸν λαὸν ἡ νοητὴ Σιών, τὸν ἄρσενα, τὸν τῶν γυναικείων παθῶν καὶ τῆς ἐκλύσεως εἰς τὴν ἑνότητα τοῦ κυρίου καταντήσαντα, καὶ ἀπαρσενωθέντα τῇ σπουδῇ. λέγωμεν οὖν πάλιν ἐξ ἀρχῆς ἐ-
B παναποδίσασαι, μέχριπερ ἂν καθεξῆς πρὸς τὸ τέλος ἔλθωμεν, ἐξηγούμεναι τὰ προειρημένα· σκόπει οὖν ἐάν πως καί σοι δοκῇ πρὸς εὐδοξίαν ὁ λόγος πληροῦσθαι. ἐγὼ γὰρ τὸ ἄρσενα ταύτῃ γεννᾶν εἰρῆσθαι νομίζω τὴν ἐκκλησίαν, ἐπειδὴ τοὺς χαρακτῆρας, καὶ τὴν ἐκτύπωσιν, καὶ τὴν ἀρρενωπίαν εἰλικρινῶς τοῦ Χριστοῦ
C προσλαμβάνουσιν οἱ φωτιζόμενοι, τῆς κατὰ ὁμοίωσιν μορφῆς ἐν αὐτοῖς ἐντυπουμένης τοῦ λόγου, καὶ ἐν αὐτοῖς γεννωμένης κατὰ τὴν ἀκριβῆ γνῶσιν καὶ πίστιν· ὥστε ἐν ἑκάστῳ γεννᾶσθαι τὸν Χριστὸν νοητῶς· καὶ διὰ τοῦτο ἡ ἐκκλησία σπαργᾷ καὶ ὠδίνει, μέχριπερ ἂν ὁ Χριστὸς ἐν ἡμῖν μορφωθῇ γεννηθείς, ὅπως ἕκαστος τῶν ἁ-
D γίων τῷ μετέχειν Χριστοῦ, Χριστὸς γεννηθῇ, καθ' ὃν λόγον καὶ ἔν τινι γραφῇ φέρεται, μὴ ἅψησθε τῶν Χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε. οἱονεὶ Χριστῶν γεγονότων τῶν κατὰ μετουσίαν τοῦ πνεύματος, εἰς Χριστὸν βεβαπτισμένων, συμβαλλούσης ἐνταῦθα τὴν ἐν τῷ λόγῳ τράνωσιν αὐ-

τῶν, καὶ μεταμόρφωσιν τῆς ἐκκλησίας· βεβαιοῖ δὲ καὶ ταῦτα Παῦλος φανερῶς διδάσκων, ἔνθα φησί· τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν θεὸν καὶ πατέρα, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς ὀνομάζεται, ἵνα δῷ ὑμῖν κατὰ τὸν πλοῦτον τῆς χρηστότητος αὐτοῦ, δυνάμει κραταιωθῆναι διὰ τοῦ πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν· εἰς γὰρ τὰς τῶν ἀναγεννωμένων ψυχὰς ἀναγκαῖον ἐξομοργνύμενον ἐκτυποῦσθαι τὸν λόγον τῆς ἀληθείας. ἔοικε δὲ τοῖς εἰρημένοις καὶ τοῦτο μάλιστα προσεοικέναι καὶ συμφωνεῖν, τὸ χρησμῳδούμενον ἄνωθεν ἐξ αὐτοῦ τοῦ πατρὸς τῷ Χριστῷ, ἐπὶ τὸν ἁγνισμὸν ἥκοντι τοῦ * ὕδατος ἐν τῷ Ἰορδάνῃ· υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε· παρατηρητέον γὰρ, ὅτι τὸ μὲν υἱὸν αὐτοῦ εἶναι, ἀορίστως ἀπεφήνατο καὶ ἀχρόνως· εἶ γὰρ, αὐτῷ ἔφη, καὶ οὐ γέγονας· ἐμφαίνων μήτε πρόσφατον αὐτὸν τετυχηκέναι τῆς υἱοθεσίας· μήτε αὖ προϋπάρξαντα, μετὰ ταῦτα τέλος ἐσχηκέναι, ἀλλὰ προγεννηθέντα, καὶ ἔσεσθαι, καὶ εἶναι τὸν αὐτόν· τὸ δὲ, ἐγὼ σήμερον γεγέννηκά σε, ὅτι προόντα ἤδη πρὸ τῶν αἰώνων ἐν τοῖς οὐρανοῖς, ἐβουλήθην καὶ τῷ κόσμῳ γεννῆσαι· ὃ δή ἐστι, πρόσθεν ἀγνοούμενον γνωρίσαι· ἀμέλει τοῖς μηδέπω τῶν ἀνθρώπων

A transformationem eorum Eccleſiâ. Confirmat autem & hæc Paulus, palam docens, vbi dicit: *Huius gratiâ flecto genua mea ad Deum & Patrem, ex quo omnis paternitas in cælo, & in terra nominatur: vt det vobis ſecundùm diuitias bonitatis ſuæ ſpiritu corroborari* B *per ſpiritum ipſius in interiorem hominem, habitare Chriſtum per fidem in cordibus veſtris.* Etenim in regeneratorum animas neceſſe eſt, veluti ſeſe ſigilli ritu imprimens efformari exprimique Verbum veritatis. Videtur autem vel maximè congruere iam dictis, eáque adſtruere, quod ex perſonâ Patris Chriſto ad Iordanem ba- C ptiſmi causâ venienti dicitur oraculum antiquum: *Filius meus es tu, ego hodie genui te.* Psal. 2. Obſeruandum enim filium eſſe ſuum dicere indefinitè, & ſine determinatione temporis. *Es* enim, ait; non autem *fuiſti.* Significans neque recèns ipſi contigiſſe filiationem; neque D quod iam ſit, vmquam eſſe deſiturum: ſed qui ante genitus fuerit, eundem ſemper eſſe, & fore. Quòd verò addit, *ego hodie genui te*, declarat, qui iam ante ſæcula priùs in cælo erat, hunc voluiſſe ſe mundo quoque generare: hoc eſt: priùs ignoratum oſtendere. Itaque iis hominibus, qui nondum

agnoueuerunt multifariam Dei ſapientiam, nondum genitus eſt Chriſtus; quod eſt: nondum eſt cognitus, nondum manifeſtatus, nondum apparuit. Si verò ſenſerint & ipſi myſterium gratiæ: tunc & ipſis, quippe qui iam conuerſi ſint & crediderint, per notitiam & prudentiam gignitur. Quare conuenienter, hinc Eccleſia maſculum Verbum, in iis qui caſtificantur, ſemper formare dicitur & generare. Et hactenus quidem de partu ipſius pro viribus dictum ſit. Deinceps de dracone, déque aliis in iſta ſcriptura memoratis fides liberanda eſt. Conemur ergo ea vt poterimus exponere, nihil deterritæ magnitudine obſcuritatéque ænigmatum ingenti. Quòd ſi quid perplexum ac difficile inciderit, ego rurſum vobis quaſi pontem ſternam, aut portitoris officio trans amnem deportabo. Draco magnus, rufus, verſutus, multiplex, ſepticeps, corniger, trahens tertiam ſtellarum partem, qui ſtat in inſidiis vt filium parturientis mulieris deuoret, diabolus hic eſt, obſidere ſolitus ac circumuenire, peruertere͏́que conans recens baptizatorum mentem Chriſti admiratione amoréque occupatam: deleréque ex illâ, ſi queat, effigiem illam ac formam modò impreſſam, & ingenitam Verbi. Verùm fruſtra eſt, conatúſque illi ſui abeunt in vanum. ſur-

A συνησθημένοις τὴν πολυποίκιλον σοφίαν τοῦ θεοῦ, ὁ Χριστὸς οὐδέπω γεγέννηται· ὅπερ ἐστὶν, οὐδέπω ἐγνώσθη, οὐδέπω πεφανέρωται, οὐδέπω ἐφάνη. εἰ δὲ αἴσθοιντο καὶ οὗτοι τῆς χάριτος τὸ μυστήριον· τότε δὴ καὶ αὐτοῖς, ὁπότε ἐπέστρεψαν καὶ ἐπίστευσαν, κατὰ τὴν γνῶσιν καὶ τὴν σύνεσιν
B γεννᾶται. διὸ προσηκόντως ἐντεῦθεν ἡ ἐκκλησία τὸν ἄρσενα λόγον ἐν τοῖς ἁγνιζομένοις ἀεὶ μορφοῦν λέγεται καὶ γεννᾷν. καὶ τὰ μὲν δὴ περὶ τῶν ὠδίνων αὐτῆς εἰς δύναμιν εἴρηται· τὰ δὲ περὶ τοῦ δράκοντος καὶ τῶν ἄλλων, τῇδε μεταβλητέον. ἑκοῦν πειρασόμεθα πάλιν ἄλλως γέ πως
C δηλοῦν, ὦ παρθένοι, μηδὲν ἀποδειλιῶσαι πρὸς τὸ μέγεθος τῶν αἰνιγμάτων τῆς γραφῆς· εἰ δέ τι δύσκολον ἐμπίπτει τοῖς λόγοις, ἐγὼ πάλιν ὑμᾶς ὥσπερ ποταμὸν διαβιβάσω. ὁ δράκων, ὁ μέγας, ὁ πυρρὸς, ὁ πολύτροπος, ὁ πολυειδὴς, ὁ ἑπτακέφαλος, ὁ κερασφόρος, ὁ σύρων τὸ τρίτον τῶν
D ἀστέρων, ὃς ἕστηκεν ἐφεδρεύων, ἵνα τὸ τέκνον τῆς ὠδινούσης γυναικὸς καταφάγῃ, ὁ διάβολος οὗτός ἐστιν ὁ ἐνεδρεύων, ὁ λοχῶν λυμήνασθαι τῶν φωτισθέντων τὸν χριστόληπτον νοῦν, καὶ τὴν ἐκτύπωσιν καὶ ξαύωσιν τὴν ἐν αὐτοῖς ἀποτεχθεῖσαν τοῦ λόγου· ἀλλ' ἀστοχεῖ καὶ σφάλλεται τῆς ἄγρας, ἀ-

νω πρὸς ὕψος ἁρπαζομένων τῶν ἀναγεννωμένων πρὸς τὸν θρόνον τοῦ θεοῦ, ὅ δή ἐστιν, ἄνω περὶ τὴν θείαν ἕδραν, καὶ τὴν ἀσκανδάλιστον ὑπόβασιν τῆς ἀληθείας, αἴρεται τὸ φρόνημα τῶν ἀνακαινισθέντων, τὰ ἐκεῖ βλέπειν, καὶ τὰ ἐκεῖ φαντάζεσθαι παιδαγωγουμένων, ἵνα μὴ ἀπατηθῇ πρὸς τοῦ δράκοντος βρίθοντος κάτω· οὐ γὰρ αὐτῷ θέμις τοὺς ἄνω νεύοντας καὶ βλέποντας ἀφανίσαι. Οἱ δὲ ἀστέρες εἰσίν, οὓς τῷ τῆς οὐρᾶς ἄκρῳ κατὰ κορυφῆς ἐφαπτόμενος εἰς τὴν γῆν κατέσπασε, τῶν αἱρέσεων αἱ συστροφαί· ἀστέρας γὰρ σκοτεινούς, ἀμυδρούς, καὶ ταπεινοστρεφεῖς, τὰς ἐπισυνόδους τῶν ἑτεροδόξων εἶναι φραστέον· ἐπειδὴ τῶν οὐρανίων ἐπιστήμονες εἶναι δὴ βούλονται καὶ αὐτοί, καὶ εἰς Χριστὸν πεπιστευκέναι, καὶ τὴν ἕδραν ἔχειν τῆς ψυχῆς ἐν τοῖς οὐρανοῖς, καὶ πλησιάζειν τοῖς ἄστροις, ὡς φωτὸς τέκνα· ἀλλὰ κατασύρονται, τοῦ δράκοντος ἐκσεισθέντες ταῖς πλοκαῖς· ὅτι μὴ τῶν τριγώνων εἴσω τῆς εὐσεβείας ἔστησαν σχημάτων, πταίσαντες αὐτῆς περὶ τὴν ὀρθόδοξον θρησκείαν· ὅθεν καὶ τρίτον τῶν ἀστέρων ἐκλήθησαν μέρος, ὅτι περὶ ἕνα τῶν ἀριθμὸν τῆς τριάδος διεσφαλμένοι· ὁτὲ μὲν τὸν τοῦ πατρός, ὡς Σαβέλλιος, αὐτὸν τὸν παντοκράτορα λέξας πεπονθέναι· ὁτὲ δὲ τὸν τοῦ υἱοῦ, ὡς Ἀρτεμᾶς, καὶ οἱ

A ſum enim longè ad thronum Dei rapiuntur qui regenerati ſunt. hoc eſt: eorum mens & cogitatio qui renouati per fidem, & baptiſmum ſunt, altè attollitur circum diuinam ſedem, & inoffenſum veſtigium ſolúmque veritatis, inſtituta eruditáque vt quæ ibi ſunt intueatur, imaginetur, in iis hæreat, illícque teneatur: ne fraude B hinc doliſve detrahi queat draconis deorſum deprimentis: cui non permittitur in ſuperna verſos iiſque intentos contemplandis, deiicere. Stellæ verò quas ſummâ caudâ draco de faſtigio ipſarum contingens euerrit in terram deuoluitque, hæreſum peruerſæ ſectæ ſunt. Stellas quippe tenebroſas, in humi- C lia deiectas, conuenticula heterodoxorum rectè dixerimus: quando ſeſe cæleſtium peritos & ipſi iactant, & in Chriſtum crediſſe gloriantur, ſtationémque in cælis habere; atque inter aſtra verſari, vt lucis filios. Verùm detrahuntur draconis excuſſi flexibus: quoniam intra triangulares religionis figuras non ſe conti- D nent; prolabentes ex ipſâ, & ex orthodoxo Dei cultu exorbitantes. Vnde tertia ſtellarum pars vocantur: quoniam circa vnum ex numeris Trinitatis deluſi errant. Aliquando quidem circa Patrem, vt Sabellius, qui omnipotentem ipſum paſſum aſſeruit. Aliquando circa Filium vt Artemas, & qui

A apparentiam in eo ſolam agnoſcunt: aliquando circa Spiritum ſanctum, vt Ebionæi, qui ex proprio motu prophetas locutos contendunt. Marcionis enim, & Valentini, Elchaſæique, & aliorum melius fuerit ne mentionem quidem facere. Quæ verò genuit, & peperit maſculum in cordibus eorum, qui crediderunt Verbum, B inuiolata illæſaque ab ira ſerpentis, in deſertum ſummota, mater noſtra eſt, vt diximus, Eccleſia. Deſertum verò, in quod vbi venit, ibi paſcitur per mille ducentos ſexaginta dies, verè deſertum à malis: ſterilis corruptionis, nec ferax terra noxiorum germinum, difficilis aditu eadem, & aſperitate ſua quadam vulgarium C hominum veſtigiis parum commodè calcabilis: cæterum frugibus tamen fructibúſque felix, quin & paſcuis abundans, & amœnè florens peruiáque ſanctis, copiâ redundans ſapientiæ, germinánſque vitam, hic eſt ipſe in quo ſumus pulcherrimus, ſpecioſiſſimus, vmbroſus ſyluis, ſuauiſſimíſque D halans floribus virtutis hortus. Cant. 4. 16. *Ibi ſurrexit Auſter, & flauit Aquilo, & fluunt aromata;* & ambroſiis omnia roribus madent, immortalis vitæ ſemper virentibus coronata plantis. Quo in loco iam nos ſumus legentes flores, & ex iis reginæ coronam purpuream, & ſplendidam texentes Virginitatis in-

δόκησιν αὐτὸν ἀποφηνάμενοι πεφηνέναι· ὁτὲ δὲ περὶ τὸ τοῦ πνεύματος, ὡς Ἐβιωναῖοι, ἐξ ἰδίας κινήσεως τοὺς προφήτας λελαληκέναι φιλονεικοῦντες. Μαρκίωνος γὰρ, καὶ Οὐαλεντίνου, καὶ τῶν περὶ τὸν Ἐλχασαῖον, καὶ τοὺς ἄλλους, καλὸν μηδὲ μνημονεῦσαι· ἡ δὲ γεννῶσα καὶ γεννήσασα τὸν ἀρρενωπὸν ἐν ταῖς καρδίαις τῶν πιστευσάντων λόγον, καὶ ἄχραντος καὶ ἀβλαβὴς ἀπὸ τῆς τοῦ θηρὸς ὀργῆς εἰς τὴν ἔρημον παραγενομένη, ἡ μήτηρ ἡμῶν ἐστιν, ὡς ἀποδεδώκαμεν, ἡ ἐκκλησία· ἡ δὲ ἔρημος, εἰς ἣν ἐλθοῦσα τρέφεται τὰς χιλίας καὶ διακοσίας ἡμέρας καὶ ἑξήκοντα, ἡ κακῶν ἔρημος ἀληθῶς, καὶ ἄγονος, καὶ στεῖρα φθορᾶς, καὶ δυσπρόσιτος, καὶ δύσβατος τοῖς πολλοῖς, ἔγκαρπος δὲ, καὶ εὔβοτος, καὶ εὐθαλὴς, καὶ εὐεπίβατος ἁγίοις, καὶ πλήθουσα σοφίας, καὶ βλαστάνουσα ζωὴν, αὕτη δή τίς ἐστι τῆς ἀρετῆς ὅτι τὸ κάλλιστον, καὶ καλλίδενδρον, καὶ καλλίπνουν χωρίον. Ἔνθα ἐξηγέρθη ὁ νότος, καὶ διέπνευσεν ὁ βορρᾶς, καὶ ῥέουσι τὰ ἀρώματα, καὶ τῶν ἀμβροσίων πεπλήρωται δρόσων, ἀθανάτου ζωῆς βλάσταις ἀμαράντοις κατεστεμμένα, εἰς ὃ ἐσμὲν ἡμεῖς ἀνθολογοῦσαι νῦν καὶ πλέκουσαι τῇ βασιλίσσῃ τὸν ἁλουργῆ στέφανον καὶ ἐκλαμπρὸν τῆς παρθενίας ἀ-

θίκτοις δακτύλοις· ἀρετῆς γὰρ κοσμεῖται καρποῖς ἡ νύμφη τοῦ λόγου· αἱ δὲ χίλιαι καὶ διακόσιαι ἡμέραι καὶ ἑξήκοντα, ἃς ἐνθάδε ἐσμὲν εἰς ἐπιδημίαν, ἡ τοῦ πατρὸς ἐστίν, ὦ παρθένοι, καὶ τοῦ υἱοῦ, καὶ τοῦ πνεύματος κατ' εὐθεῖαν ἀκριβὴς καὶ ἀρίστη σύνεσις, ᾗ γέγηθεν ἡμῶν ἡ μήτηρ αὐξανομένη, καὶ ἀγάλλεται τουτονὶ τὸν χρόνον, μέχριπερ αὖ τῆς ἀποκαταστάσεως τῶν καινῶν αἰώνων εἰς τὴν ἄγυριν ἐλθοῦσα κατὰ τοὺς οὐρανούς, μηκέτι δι' ἐπιστήμης κατασκέπτηται τὸ ὄν, ἀλλὰ τρανῶς ἐποπτεύσῃ, Χριστῷ συνεισβᾶσα. τὰ γὰρ χίλια ἐν ἑκατοντάσι δεκαπλασιασθέντα, τέλειον ἀριθμὸν καὶ πλήρη περιέχει· ὃ δή ἐστι σύμβολον αὐτοῦ τοῦ πατρός, τοῦ ἀφ' ἑαυτοῦ δημιουργήσαντος, καὶ ἐν ἑαυτῷ συγκρατοῦντος τὸ πᾶν· τὰ δὲ διακόσια τὸν ἐκ δύο τελείων ἀριθμῶν συνεζευγμένον, ὃ δή ἐστι σύμβολον τοῦ ἁγίου πνεύματος, καθὸ τῆς γνώσεώς ἐστι τοῦ υἱοῦ τοῦ τε καὶ πατρὸς παρεκτικόν· τὰ δὲ ἑξήκοντα, τὸν ἓξ ἀριθμὸν ἐν δεκάσιν ἔχει, ὃ δή ἐστι σύμβολον τοῦ Χριστοῦ· ἐπειδήπερ ὁ τῶν ἓξ ἀπὸ μονάδος προϊὼν ἀριθμὸς ἐκ τῶν ἰδίων συντίθεται μερῶν, ὥστε μήτε λείπειν ἐν αὐτῷ τι, μήτε πλεονάζειν· εἰς τὰ ἑαυτοῦ γὰρ μέρη ἀναλυόμενος συμπληροῦται· οἷον, τὸν ἓξ εἰς ἴσα μέρη ἐξ ἴσων τεμνόμενον μερῶν, ἀνάγκη τὴν αὐτὴν ἐκ τῶν

A tactis digitis. Virtutis enim ornatur fructibus ſponſa Verbi. Mille porrò ducenti ſexaginta dies, per quos hîc ſumus in peregrinatione, Patris eſt, ô Virgines, & Filij, & S. Spiritus ſecundum rectam fidem exacta & optima cognitio, quâ gaudet mater noſtra ex eáque alitur & creſcit, & iucundè reficitur per hoc tempus, B donec inſtituantur noua ſæcula, quando in cœtum aggregata beatorum qui in cælis degunt, non iam per ratiocinationes & contentionem mentis intelliget id quod eſt, ſed palam & clarè ipſum cernet ſimul cum ipſo vltra intimum admiſſa velum. Millenarius quippe ex centenario decies multiplicato C conſtans, perfectum numerum & plenum continet: quod eſt ſymbolum Patris, qui ex ſeipſo condidit, & in ſeipſo continet omnia. Ducenta verò ex duobus perfectis numerus conflatus, ſymbolum ſunt S. Spiritus: quatenus is notitiæ Filij & Patris eſt præbitor. Denique ſexaginta, ſenarium numerum in decadibus habent, eóque ſymbolum Chriſti eſt: D quoniam ſenarius ex vnitate progrediens numerus, ex propriis componitur partibus ita, vt nec deſit ipſi, nec redundet ex iis quidquam. In ſuas enim ipſius partes reſolutum exhauritur. Nimirum ſi ſex æquales in numeros alios atque alios diuidantur: neceſſe eſt, ex iiſ-

dem ſimul iterum iunctis ſenarius idem reparetur numerus. Primùm quippe ſi diuidatur medius, tria efficit: rurſus ſi in tres diuidatur partes, efficit duo: Si deniq; in ſex partes diſtribuatur, vnicuíque parti ſola vnitas competet. Vnde patet refundi ſemper in ſenarium omnes eius diuiſiones ac partes. Nam in bis tria, ter duo, ſexies vnum diuiſus, coniunctis inter ſeſe tribus, duobus, & vno, rurſus ſenarium integrum perficit. Perfectus autem hic numerus neceſſariò totus eſt, cui nihil deſit aliud ad naturalis plenitudinis modum, nec vltra eum redundet vmquam. Aliorum autem numerorum quidam pluſquam perfecti ſunt, vt duodenarius: media quippe pars eius ſenarius eſt, tertia verò quaternarius, quarta ternarius, ſexta binarius, duodecima vnitas. Hæc autem, in quæ duodenarius poteſt diuidi, ſi rurſus in ſe componantur, excedunt duodenarium, qui ſe proinde non ſeruat æqualem ſuis partibus, ſicut ſenarius. Alij imperfecti, vt octonarius. Huius enim dimidium, quaternarius; quarta verò pars, binarius; octaua, vnitas. In quas diuiſus partes ſi rurſus ex ipſis componatur, nihil niſi ſeptenarium reddit: indigens vnitate, vt ad ſui complementum perueniat: non planè ex omni parte ſibi conſonans ipſi, vt ſenarius. Qua propter hic ad filiũ Dei refertur, à plenitudine diui-

A διαμερισθέντων τμημάτων πάλιν ποσότητα πληροῦσθαι. πρῶτον γὰρ μέρος κατὰ μέσον διαιρούμενος ποιεῖ τὸν τρία· εἶτα εἰς τρία διαιρούμενος μέρη, ποιεῖ τὸν δύο· εἶτα εἰς ἓξ μερισθεὶς, ποιεῖ τὸν ἕνα, καὶ συμπληροῦται πάλιν εἰς ἑαυτόν· εἰς γὰρ δὶς B τρία, καὶ τρὶς δύο, καὶ ἑξάκις ἓν διαιρούμενος, συντεθειμένων τῶν τριῶν, καὶ τῶν δύο, καὶ τοῦ ἑνὸς, πάλιν ἀναπληροῖ τὸν ἕξ. τέλειος δὲ πᾶς ἐξ ἀνάγκης ἐστὶ, τὸ μήτε προσδεόμενον εἰς συμπλήρωσιν ἑτέρου, μήτε πλεονάζον ἑαυτοῦ πώποτε· τῶν δὲ ἄλλων ἀριθμῶν οἱ μὲν ὑπερτέ- C λειοί εἰσιν, ὡς ὁ δώδεκα· τὸ γὰρ ἴσον αὐτοῦ μέρος τὰ ἕξ, καὶ τὸ τρίτον τὰ τέσσαρα, καὶ τὸ τέταρτον τὰ τρία, καὶ τὸ ἕκτον τὰ δύο, καὶ τὸ δωδέκατον τὸ ἕν, εἰς ἃ δύναται μερίζεσθαι, συντεθέντα ὑπερβάλλουσι τὸν δώδεκα, οὐ τηρήσαντος ἑαυτὸν ἴσον D τοῖς ἑαυτοῦ μέρεσιν, ὡς ὁ ἕξ· οἱ δὲ ὑποτέλειοι, ὡς ὁ ὀκτώ· τὸ γὰρ ἥμισυ αὐτοῦ τὰ τέσσαρα, καὶ τὸ τέταρτον τὰ δύο, καὶ τὸ ὄγδοον τὸ ἕν, εἰς ἃ τέμνεται μέρη, συντεθέντα ποιεῖ τὸν ἑπτὰ, καὶ προσδεῖται μονάδος εἰς τὴν ἑαυτοῦ συμπλήρωσιν· οὐχ ὡς ὁ ἓξ παντοίως ἑαυτῷ σύμφωνος ὤν. διὸ καὶ τὴν ἀναφορὰν εἰς τὸν υἱὸν ἀνείληφε τοῦ θεοῦ, ἀπὸ τοῦ πληρώματος τῆς θεότη-

τος

τος εἰς τὸν βίον ἐληλυθότος. κενωθεὶς γὰρ, καὶ τὴν μορφὴν τοῦ δούλου προσλαβὼν, εἰς τὴν ἑαυτοῦ τελειότητα πάλιν ἀνεπληρώθη καὶ τὴν ἀξίαν· αὐτὸς γὰρ ἐν ἑαυτῷ σμικρυνθεὶς, καὶ ἐν τοῖς ἑαυτοῦ μέρεσιν διαλυθεὶς ἐκ τῆς ἑαυτοῦ σμικρότητος καὶ τῶν ἑαυτοῦ μερῶν εἰς τὴν συμπλήρωσιν πάλιν τὴν ἑαυτοῦ καὶ τὸ μέγεθος κατέστη, οὐδέποτε τοῦ τέλειος εἶναι μειωθείς. ἀλλὰ καὶ ἡ τοῦ κόσμου κτίσις ἐκ τούτου φαίνεται πᾶσα συγκειμένη τοῦ ἀριθμοῦ, καὶ τῆς ἁρμονίας, ἐν ἓξ ἡμέραις ποιήσαντος τοῦ θεοῦ τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὰ ἐν αὐτοῖς· τῆς ποιητικῆς δυνάμεως τοῦ λόγου τὸν ἓξ ἐμπεριέχοντος ἀριθμὸν, καθ' ὃν ἡ τριὰς σωμάτων ἐστὶ ποιητική· μῆκος γὰρ, καὶ πλάτος, καὶ βάθος σῶμα ἐργάζεται· ὁ δὲ ἓξ ἐκ τῶν τριγώνων ἐστὶ συγκείμενος· καὶ περὶ μὲν τούτων οὐκ ἔστι καιρὸς πρέπων ἐν τῷ παρόντι διεξελθεῖν δι' ἀκριβείας, ἵνα μὴ τὸ προκείμενον ἐάσαντες, τὰ πάρεργα σκοπῶμεν· οὐκοῦν δεῦρο εἰς τὴν ἔρημον ἐλθοῦσα ταύτην καὶ ἄγονον κακῶν, ἡ ἐκκλησία τρέφεται, πτερουμένη τοῖς οὐρανοπόροις τῆς παρθενίας πτεροῖς, ἃς ἀετοῦ μεγάλου πτέρυγας ὁ λόγος ἔφη· νικήσασα τὸν ὄφιν, καὶ τῆς πληροσελήνου τῆς ἑαυτῆς τὰς νεφέλας τὰς δυσχειμέρους ἀπεωσαμένη· τούτων γὰρ χάριν τῶν

A nitatis in vitam perfectum. Exinanitus enim, & formâ ſerui ſuſceptâ, in ſuam ipſius rurſus perfectionem pleniſſimè atque dignitatem reſtitutus eſt. Ipſe enim in ſe ipſo diminutus, & in ſuas ipſius partes reſolutus, ex ipſâ diminutione ſuâ, & ex ſuis partibus, in plenitudinem rurſus priorem, atque in ma-
B gnitudinem reparatus eſt. alioqui nunquam ita minutus, vt non ſimul perfectus exiſteret. Sed & mundi creatio ex hoc tota conflata numero videtur. Sex quippe dierum ſpatio cælum, & terram quæque iis continentur, Deus condidit: ſenarium in ſeſe continente numerum creatricis virtutis ratione, in qua ternarius corporum effe-
C ctor cēſetur: longitudo quippe, profunditas, & latitudo corpus efficiunt. Porrò ſenarius ex trigonis conflatur. Ac de his quidem non eſt opportuna in præſens occaſio diſſerendi accuratè: ne omiſſo principali propoſito, in conſectaneis, aut circumſtantibus hæreamus. Hanc igitur in ſolitudinem malorum ſterilem
D ſepoſita, vti prius diximus, Eccleſia, paſcitur pennáſque adoleſcens accipit, ſenſim ſeſe pertingendæ cælorum altitudini paribus inſtruens Virginitatis alis: quas *alas Aquilæ magnæ* ſcriptura vocat: quibus victo ſerpente, & ſui, quod calcat pedibus, plenilunij procelloſis nubibus ſuperatis, in tutum euadit. Horum gratiâ hi, quos

hactenus impendimus, prolati à nobis ſermones ſunt: adhortantes vos, ô egregiæ Virgines, ad totis viribus imitandam Matrem : cauendúmque ne inficiamini doloribus, conuerſionibus, & calamitatibus vitæ : quò poſſitis lætæ cum illâ occurrere in thalamum, præferentes ornatas lampades. Ne ergo deſpondeatis animos propter vafras artes, & calumnias ſerpentis : ſed præparate vos acriter ad pugnam, galeam ſalutis, & loricam, tum crurum femorúmque indumenta bellica indutæ; incredibilem enim ipſi conſternationem inferetis, magno in ipſum animo robuſtâque inuectæ conſtantiâ. Neque omnino ſuſtinebit impetum; ne ad ſpeciem quidem ſtabit, Dei videns iuſſu ductúque inſtructas, & accinctas aduerſum ſe acies procedere. Sed ſtatim tollere vos certaminum ſeptem opima ſpolia præmiáque ſinet multiceps, & multifrons beſtia.

Fronte leo, caudâque draco, medio orbe chimæra,
Ore vomens ſæuis incendia lurida flammis,
Quam Patris imperio Rex victor ab æthere Chriſtus
Confecit, facili multorum cæde ferocem.
Quos gratam ſpumeis faucibus eſcam habuit

habiturúſque erat, nemine furori eius valente obſiſtere, niſi maturè victam ipſam exarmatámque interfeciſſet, deprehenſam euentu imbecillitatem

A μεταξὺ πάντες οὗτοι παρῃνέχθησαν λόγοι, διδάσκοντες ὑμᾶς, ὦ καλλιπάρθενοι, κατὰ κράτος μιμεῖσθαι τὴν μητέρα, μὴ ἐπιθολοῦσθαι δὲ ταῖς ἀχθηδόσι, καὶ τροπαῖς, καὶ θλίψεσι τοῦ βίου, ἵνα συνεισέλθητε γαῦροι μετ' αὐτῆς εἰς τὸν νυμφῶνα, παραφαίνουσαι τὰς λαμπάδας· μὴ
B οὖν ἀποδειλιάσητε πρὸς τὰς μεθοδείας, καὶ διαβολὰς τοῦ θηρός, ἀλλὰ καρτερῶς ἐνσκευάσασθε πρὸς τὴν μάχην, τὴν κόρυν τοῦ σωτηρίου, καὶ τὸν θώρακα, καὶ τὰς κνημῖδας ἐξωπλισμέναι. μυρίαν γὰρ αὐτῷ κατάπληξιν παρέξετε μετὰ πολλοῦ λήματος καὶ εὐψυχίας προσβάλλουσαι· οὐδὲ στήσεται πάντως ἐκ τοῦ
C κρείττονος ὁρῶν τὰς ἀντιπάλους παρατεταγμένας· ἀλλ' αὐτόθεν ἄρασθαι τῶν ἑπτὰ παλαισμάτων ὑμᾶς συγχωρήσει τὰ ἀριστεῖα ὁ πολυκέφαλος καὶ πολυπρόσωπος θήρ.

Πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ χίμαιρα,
Δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο·
D Καὶ τὴν μὲν κατέπεφνε πατρὸς τεράτεσσι πιθήσας
Χριστὸς ἄναξ, πολλοὺς γὰρ ἀπώλεσεν, οὐδέ τις ἔτλη.
Λοίγιον ἐκ γενύων ἀφρὸν ἐρευγομένην.

εἰ μὴ πρότερον ἐκλύσας αὐτὴν κατειργάσατο, καὶ ἀσθενῆ

A καὶ εὐκαταφρόνητον ἡμῖν παντελῶς ἐποίησε Χριστός· διὸ θυμὸν ἄῤῥενα λαβοῦσαι, καὶ νήφοντα, ἐνδύητε θᾶττον τῷ θηρὶ σφριγῶντι τὰ ὅπλα, μηδὲ ὑποχωρήσητε τὸ σύνολον, ἐφ' οἷς θρασύνεται, ταραχθεῖσαι· μυρίον γὰρ ἕξετε κλέος, ἐὰν ἀφέλητε νικήσασαι τοὺς ἐπ' αὐτοῦ στεφάνους ἑπτὰ, δι' B οὓς ὁ ἀγὼν ἡμῖν πρόκειται, καὶ ἡ πάλη, κατὰ τὸν διδάσκαλον Παῦλον· ἡ γὰρ καταγωνισαμένη τοῦ διαβόλου πρότερον, καὶ νεκρώσασα τὰς ἑπτὰ κεφαλὰς, τῶν ἑπτὰ στεφάνων τῆς ἀρετῆς ἐγκρατὴς γίνεται, τοὺς ἑπτὰ μεγάλους ἀγῶνας διαθλήσασα τῆς ἁγνείας· κεφαλὴ γὰρ τοῦ δράκοντός ἐστιν ἡ C ἀκρασία, καὶ ἡ τρυφή· ὁ ταύτην συνθλάσας, ἀναδεῖται τὸν στέφανον τῆς σωφροσύνης. κεφαλή ἐστι, καὶ ἡ δειλία, καὶ ἡ θρύψις· ὁ ταύτην πατήσας, τὸν στέφανον ἀναιρεῖται τοῦ μαρτυρίου· κεφαλή ἐστι καὶ ἡ ἀπιστία, καὶ ἡ ἄνοια, καὶ τὰ ἄλλα ὡσαύτως τῆς πονηρίας πλεονεκτήματα· ὁ D ταῦτα κατεργασάμενος καὶ ἀνελὼν, τὰς ἐπ' αὐτοῖς τιμὰς ἀποφέρεται, πολυτρόπως ἐκκεραϊζομένης τοῦ δράκοντος τῆς ἰσχύος· καὶ γὰρ καὶ τὰ δέκα κέρατα καὶ κέντρα, ἅπερ ἐπὶ ταῖς κεφαλαῖς ἐλέχθη φέρειν, αἱ δέκα ἀντιθέσεις εἰσὶν, ὦ καλλιπάρθενοι, τοῦ δεκαλόγου, αἷς ἀνακερατίζειν εἴωθε καὶ

A eius contemnendam irridendámque proponens nobis Chriſtus. Quare marem animum ſobriúmque concipientes fortia ringenti fruſtra rebellantíque belluæ pectora opponite. Nihil quidquam eius oppugnationibus cedite, aut idcircò turbemini, quòd ferocientem videatis. Infinitam enim refe- B retis gloriam, ſi ei victrices abſtuleritis ſeptem illas quas gerit coronas; de quibus certamen nobis & contentio propoſita eſt, ſecundùm magiſtrum Paulum. Quæ enim priùs vicerit diabolum, & eius ſeptem capita mortificauerit, ſeptem virtutis coronas adipiſcetur, ſeptem magnis perfuncta certaminibus caſtitatis. Ca- C put enim draconis eſt intemperantia & luxus: qui hoc caput confregerit, ornabitur coronâ continentiæ. Caput eſt ignauus timor animi fracti: qui hoc pede premens eliſerit, coronam auferet martyrij. Caput eſt infidelitas, & dementia, aliæque id genus redundantiæ prauitatis: quæ qui confecerit, D quæ impoſita ipſis elucent diadematum inſignia, præmia victoriæ opima auferet, multifariè contusâ draconis potentiâ. Nam etiam ſeptem cornua, & acumina, quæ in ſuis capitibus draco ferre dictus eſt, decem prauarum eius ſuggeſtionum articuli, ô Virgines, ſunt totidem decalogi præceptis oppoſiti, per quos arietare ac vehe-

menter impetere ſolet animas multorũ. Primo præcepto quo iubetur: Diliges Dominum Deum tuum: contraria ſapiens ipſe & obtrudere incautis arte mirâ ſatagens: & ſic aliis conſequenter Dei legibus. Vide enim cornu ipſius acre, & inflammatum, fornicationẽ, quo luxurioſos percutit: vide adulterium, vide mendacium, vide auaritiã, vide furtum, & alia his affinia germanáque, quę ſubnaſcuntur circum illa, homines occidentia capita draconis, quæ vbi vos adiutore Chriſto contuderitis, honeſtabitis veſtra floridis coronis, quas vobis à Deo impetrabit hæc de diabolo reportata victoria. Noſtrum enim eſt præferre præponeréque meliora ſequioribus, cæleſtia terrenis, quippe qui donati à Deo ſimus arbitrio noſtri potente, ſibique imperante pleno iure, extra neceſſitatem omnem. Nóſque fecit noſtri Dominos in eligendo quæ placent: non ſeruientes fato aut fortunæ, quod homines multi faciunt. Tu verò non vt homo, ſed vt beatus & bonus eſto. Niſi homo eſſe velis ad exemplum perfecti hominis Chriſti, ad eius archetypum te ipſum expingens emendánſque, & in omnibus illum imitans. Omnium ſanè malorum maximum eſt illud inſitum pleriſque, peccatorum cauſas ad ſtellarum motus referre, & affirmare vitam noſtram fati neceſſitatibus gubernari.

A βάλλειν τὰς τῶν πλείστων ψυχάς· τῇ ἀγαπήσεις ἐντολῇ κύριον τὸν θεόν σου, τὰ ἐναντία φρονῶν καὶ τεκταινόμενος, καὶ τοῖς ἑξῆς νομοθετήμασιν. ἴδε γὰρ κέρας αὐτοῦ διάπυρον, καὶ πικρὸν, τὴν πορνείαν, ᾧ τοὺς ἀκράτορας βάλλει· ἴδε τὴν μοιχείαν, ἴδε τὸ ψεῦδος, ἴδε τὴν φιλαργυρίαν, ἴδε τὴν κλο- B πὴν, καὶ τὰ ἄλλα τούτοις ἀδελφὰ καὶ συγγενῆ, ὁπόσα ἐξιχνοῦσιν ἀμφὶ τὰς κεφαλὰς αὐτοῦ τὰς ἀνθρωποκτόνοις πεφυκότα, ἃς ὑμεῖς συμμαχήσαντος Χριστοῦ ἐκκεφαλίσασαι, λήψεσθε τοῖς κατὰ τοῦ δράκοντος κατανθημῶσαι στεφανώμασιν ὑμῶν τὰς θείας κεφαλάς· ἡμέτερον γὰρ προκρίνειν τὰ C κρείττω καὶ προτάσσειν τῶν χειρόνων, αὐτοκράτορας καὶ αὐτεξούσιον τὸν λογισμὸν εἰληφότας, καὶ πάσης ἀνάγκης ἐκτὸς, εἰς τὸ αὐτὸ δεσπότας αἱρεῖσθαι τὰ ἀρέσκοντα, οὐ δουλεύοντας εἱμαρμένῃ καὶ τύχαις. ὡς οὐκ ἄνθρωπος, ἀλλ' ὡς μακάριος ἔσω καὶ ἀγαθός· εἰ τῷ ἀνθρωπείῳ παραδείγματι χρώ- D μενος τοῦ Χριστοῦ, καὶ πρὸς ἐκεῖνον ἑαυτὸν ζωγραφῶν, κἀκεῖνον μιμούμενος βιώσῃ. πάντων γὰρ κακῶν μέγιστον ἔμφυτον τοῖς πολλοῖς, τὸ τὰς αἰτίας τῶν ἁμαρτημάτων εἰς τὰς τῶν ἀστέρων κινήσεις ἀναφέρειν, καὶ τὸν βίον ἡμῶν οἰακίζεσθαι τῆς εἱμαρμένης ταῖς ἀνάγκαις λέγειν·

καθάπερ οἱ μετὰ ἀλαζονείας πολλῆς ἀστεροσκοπήσαντες· ὑπονοίᾳ γὰρ μᾶλλον ἢ τῷ φρονεῖν πεπιστευκότες, ὃ μεταξὺ τῆς ἀληθείας ἐστὶ καὶ τοῦ ψεύδους, πολὺ τῆς τῶν ὄντως ὄντων θέας ἐξηπατήθησαν· ὅθεν εἰ παρείης, ὦ Ἀρετὴ, πληρωθέντος ἤδη μοι τοῦ λόγου, ὃν αὐτὴ προσέταξας δέσποινα ῥηθῆναι, πειράσομαι δὴ, συναγωνιζομένης σου καὶ συμπνεούσης, πρὸς τοὺς χαλεπαίνοντας καὶ ἀμφισβητοῦντας ὡς οὐκ ἀληθῆ λέγομεν, αὐτεξούσιον εἶναι φάσκουσαι τὸν ἄνθρωπον, διευκρινήσασθαι ὅτι

Σφῇσιν ἀτασθαλίῃσιν ὑπέρμορον ἄλγε᾽ ἔχουσιν
αἱρούμενοι τὰ ἡδέα περὶ τῶν συμφερόντων.

ΑΡΕΤΗ. Ἀλλὰ πάρειμι καὶ συναγωνίζομαι· τελέως γὰρ ὁ λόγος κεκοσμήσεται καὶ τούτων προσαφθέντων.

ΘΕΚΛΑ. Πάλιν οὖν δὴ πρῶτον περὶ τούτων εἰς δύναμιν εἴπωμεν, τὴν γοητείαν αὐτῶν ἐφ᾽ ᾗ θρασύνονται γυμνώσαντες, ὡς μόνων κατειληφότων ἐξ οἵων ὁ οὐρανὸς κεκόσμηται σχημάτων, κατὰ τὰς αἰγυπτίων καὶ χαλδαίων ὑποθέσεις. Φάσκουσι γὰρ, ὥσπερ

A Quemadmodum iſti faciunt arrogantiſſimi ſiderum contemplatores: vnde notitiam futurorum haurire ſe iactant. ſuſpicionibus vanis indulgentes potiùs, quàm rectâ ſecurâque prudentiâ de rebus obſcuris probabiliter opinantes (quod quidem licet, eſt enim
B inter claram veritatem manifeſtúmque mendacium, medium tolerabile veriſimilis opinatio) vnde longè à certa veri cognitione decepti aberrarunt. Quare ſi permiſeris, ô Arete, abſoluto iam mihi ſermone, quem ipſa imperaſti: conabor adiuuante te nouum inchoare, pertexeréque alium aduersùs eos, qui indignantur, cùm dicimus
C liberum, & ſui arbitrum hominem eſſe, miráſque vt id nobis eripiant, intricant lites. Aduersùm quos euincam, eos qui peccant & pereunt

Nequitiâ ſibi damna ſuâ mortémque creare:

quippe qui dulcia præ vtilibus elegerint.

D ARETE. Age, permitto quod vis, & certaminis ſociam en me tibi offero. Nam hâc adiuncta quam ſpondes diſputatione, illuſtrior, & omnibus abſolutior numeris tua euadet oratio.

THECLA. Reſumamus igitur de his ſermonem, & ante omnia impoſturam iſtorum detegamus, quâ ſe glorioſè oſtentant, tamquam ſoli compertum habeant, qualibus cælum figuris concinnetur iuxta Ægyptiacas & Chaldaicas hypotheſes. Aiunt enim orbem mundi,

ſphæræ more verſatilis, rapidis conuerſionibus circumagi, terrâ centri, & puncti locum obtinente. Circumactus quippe, inquiunt, cùm ſphæricus ſit, neceſſe eſt, ſeruatis ſemper iiſdem interuallis partium, mediam exactè inter omnia terram conſidere, circa quam ipſo seniorem vertitur cælum. Nam ex puncto & centro prius poſito ambitus deſcribitur. Fuiſſe autem volunt circa terram profundum & chaos. in profundum enim & chaos erroris miſeri prolapſi ſunt. Quoniam *cùm Deum cognouiſſent, non ſicut Deum glorificauerunt, aut gratias egerunt: ſed euanuerunt in cogitationibus ſuis: & obſcuratum eſt inſipiens cor eorum.* (Ad Rom.) Quod & ipſorum, qui ab illis prædicantur ſapientes, teſtimonio euincitur, nullam in corporibus terrenis antiquitatis, ac per hanc honoris, prærogatiuam agnoſcentibus, quâ olympiis, hoc eſt cæleſtibus naturis præſtent. Quare agnoſcendum eſt primos omnium cultores Chriſti, pueriliter ineptire deſiiſſe, Gentilium ſemper puerorum reiectis irriſiſque nugis, fabulis magis figmentiſque veritatem, quàm arte dicendi obruentium; ac cælis imputantium hominum calamitates. Neque ipſos pudet terræ ambitum circumſcribere geometricis inuentis ac figuris: cælumque ſimulacris volucrum, aquatilium, & terreſtrium or-

A σφαίρας εὐτόρνου στροφαῖς ἀπεικάζεσθαι τὴν περιφέρειαν τοῦ κόσμου, τῆς γῆς κέντρου καὶ σημείου τόπον ἐχούσης· περιφορᾶς γὰρ οὔσης σφαιρικῆς, ἀνάγκη φασὶ κατὰ τὰς ὁμοίας διαστάσεις, τῶν αὐτῶν ὄντων διαστημάτων, μέσην τοῦ παντὸς τὴν γῆν τυγχάνειν, περὶ ἣν ὁ οὐρανὸς

B περιδίνεται πρεσβυτέραν οὖσαν. εἰ γὰρ ἐκ σημείου καὶ κέντρου περιφέρεια συνέστηκε, καὶ τὸ κατ' αὐτὴν χάος καὶ βάθος· εἰς βάθος γὰρ καὶ χάος ὄντως κατωλίσθησαν οἱ σχέτλιοι πλάνης· ὅτι γνόντες τὸν Θεὸν, οὐχ ὡς Θεὸν ἐδόξασαν, ἢ εὐχαρίστησαν· ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς,

C καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία· καὶ ταῦτα καὶ τῶν παρ' αὐτοῖς εἰρηκότων σοφῶν, ὡς οὐδὲν ὀλυμπίων ἐντιμότερον γηγενὲς, καὶ πρεσβύτερον. ὅθεν οὐκ ἀεὶ παῖδες ὄντως οἱ Χριστὸν ἐγνωκότες, καθάπερ Ἕλληνες, οἱ μύθοις μᾶλλον καὶ πλάσμασιν, ἢ τέχνῃ τῶν λόγων, τὴν ἀλή-

D θειαν χώσαντες, καὶ τοῖς οὐρανοῖς τὰς τῶν ἀνθρώπων προσαρμόσαντες συμφορὰς, οὐδὲν αἰσχύνονται καταγράφοντες τὴν τῆς οἰκουμένης περιφορὰν γεωμετρικοῖς θεωρήμασι καὶ σχήμασι, καὶ τὸν οὐρανὸν εἰδώλοις πτηνῶν, καὶ νηκτῶν, καὶ χερσαίων, εἰσηγούμενοι κεκοσμῆσθαι,

καὶ τὰς ποιότητας τῶν ἀστέρων ἐκ τῶν περὶ τοὺς ἀρχαίους ἀνθρώπους συμφορῶν κατεσκευάσθαι· ὥστε τὰς τῶν πλανητῶν αὐτοῖς κινήσεις ἐκ τοιούτων ἠρτῆσθαι σωμάτων. εἱλίσσεσθαι γὰρ περὶ τὴν τῶν δώδεκα ζωδίων φύσιν φασὶ τοὺς ἀστέρας, ἑλκομένους τῇ τοῦ ζωδιακοῦ κύκλου φορᾷ, ὡς καὶ διὰ συγκράσεως αὐτῶν ὁρᾶσθαι τὰ ἀποβαίνοντα πολλοῖς, κατὰ τὰς πρὸς ἀλλήλους αὐτῶν συναφείας τε καὶ ἀποῤῥοίας, ἀνατολάς τε αὖ καὶ δύσεις. σφαιροειδὴς γὰρ ὑπάρχων ὁ πᾶς οὐρανὸς, καὶ κέντρῳ, καὶ σημείῳ κατ' αὐτοὺς τῇ γῇ χρώμενος, διὰ τὸ πάσας ἀπὸ τῆς περιφορᾶς τὰς προσπιπτούσας εὐθείας ἐπὶ τὴν γῆν, ἴσας ἀλλήλαις εἶναι, ὑπὸ τῶν περιεχόντων αὐτὸν διακρατεῖ κύκλων· ὧν μείζων μὲν ὁ μεσημβρινὸς δοκεῖ, καὶ δεύτερος ὁ εἰς ἴσα τέμνων μέρη, καλούμενος ὁρίζων· τρίτος δὲ, ὁ τούτους ἐπιδιαιρῶν ἰσημερινός· παρ' ἑκάτερα δὲ τούτου τροπικοὶ δύο, θερινὸς καὶ χειμερινός· καὶ ὁ μὲν πρὸς τοῖς ἀρκτίοις, ὁ δὲ πρὸς τοῖς νοτίοις μέρεσι. τούτων ὁ λεγόμενος ἄξων, περὶ ὃν αἵτε ἄρκτοι, ὅ, τε ἀρκτικὸς ἔξωθεν ἔχων τὸν τροπικόν. καὶ αἱ μὲν ἄρκτοι περὶ αὐτὰς στρεφόμεναι, καὶ βρίθου-

A nari docere belluarum: qualitates quin etiam aſtrorum ex cladibus infortuniiſque priſcorum mortalium enatas dicere. Adeo vt ipſi Planetarum, ex horum ſententiâ, motus ex huiuſcemodi, quæ prius in vitâ fuerint, corporibus modum originémque trahant. Gyrare videlicet circa ſignorum duo- B decim naturam ſtellas aiunt, rapidâ Zodiaci tractas circuli vertigine: atque ex horum iſto contractâ motu temperatione varia ſignorum prouideri à ſe quæ pleriſque in poſterum euentura ſunt, nexu quippe fatali cohærentia coniunctionibus, influxibus, ortibus, occaſibúſve ipſorum. Sphæricæ quippe formæ cælum eſſe vniuer- C ſum. Eiuſmodíque ſphæræ pro centro, & puncto medio globum eſſe terræ: quoniam omnes vndecumque ab ambitu in terram incidentes lineæ, inuicem æquales ſint. Vnde terram conficiunt à ſupernè ipſam ambientibus poſſideri regíque circulis, quorum Meridianus inter maximos emineat. Ab hoc ſecundus ſit, vniuerſum item D in partes æquales duas partiens, Horizon dictus. Tertius hos interſecans, Æquinoctialis. Iſtorum porrò hinc inde ad latera Tropici duo, æſtiuus & hybernus: hic à Septentrione, ille ab Auſtro. Ad hos pertinet is, qui Axis dicitur: circa quem torquentur Vrſæ, Arcticúſque circulus, extra quem poſitus eſt tropicus. Et Vrſæ quidem ſeſe mutuò gyro perpetuo ſequentes, quaſi pondus mole ſuâ pri-

mum orbi vniuerſo imprimunt, cuius velut grauitate circa Polos Axémque rotatur. Vnde motus vniuerſi Vrſæ potiſſimum effectrices ſunt, altera iuxta ilia alterius capita habentes: intactæ æquè ambæ à peruadente globum terræ, cui nos inſiſtimus, Finitore circulo. Iam Zodiacum per omnes ſe porrigere circulos, eóſque amplexu contingere, obliquo latè meatu procedentem: eſſéque in ipſo animalium inſignes formas, quæ ſigna duodecim vocantur, ab Ariete ducto principio in Piſces deſinentia: quæ in ſiderum cenſum perueniſſe narrant fabuloſis cauſis. Nam Arietem quidem ipſam illam eſſe aiunt eius nominis beſtiam, quæ Hellen Athamantis filiam cum Phrixo per Ponti fretum tranſuexit ad Scythas. Taurum verò cæli honore ac ſtatione dignatum gratiâ Iouis, cui fidelem nauarat operam, deportandâ in Cretam Europe. Lacteum quoque circulum initium ducentem à nodo Piſcium, & hinc ſeſe Arietem versùs porrigentem, candorem à Iunonis vberibus habere memorant Iouis imperiis adactæ lac Herculi præbere. Itaque iuxta iſtos, ante Europen, Phrixum, Caſtoras, aliáque in Zodiacum poſtea ex hominibus ferísve conſtellata, nulla erat adhuc fatalitas natalis. Et ſine fortuna naſcendi primi olim progenitores illi noſtri vixere. Talis hæc quædam eſt ineptæ vanæque credulitatis febris, quæ

A σαι τὸν διὰ τῶν πόλων ἄξονα, τὴν τοῦ παντὸς ἀπεργάζονται κίνησιν κόσμου, κατὰ τὰς ἀλλήλων ἰξύας ἔχουσαι τὰς κεφαλὰς, καὶ ἄχραντοι τοῦ καθ᾽ ἡμᾶς ὁρίζοντος οὖσαι· τὸν ζωδιακὸν δὲ πάντων ἐφάπτεσθαι τῶν κύκλων λοξὴν ποιούμενον τὴν κίνησιν· B εἶναί τε ἐν αὐτῷ ζωδίων ἀριθμὸν, ἃ καλεῖται δωδεκατημόρια, δώδεκα, ἀπὸ κριοῦ τὴν ἀρχὴν ἔχοντα μέχρι τῶν ἰχθύων, ἃ κατηστερίσθαι παριστᾶσιν ἐχεμύθοις αἰτίαις· τὸν μὲν κριὸν φάσκοντες τὸν τὴν Ἕλλην εἶναι τὴν Ἀθάμαντος διακομίσαντα καὶ Φρίξον εἰς Σκύθας· τὸ δὲ βούκρανον, εἰς τι- C μὴν Διὸς, τοῦ τὴν Εὐρώπην ταύρου διαπεραιώσαντος εἰς τὴν Κρήτην· καὶ τὸν καλούμενον δὲ γαλαξίαν κύκλον, ὃς τὴν ἀρχὴν ἀπὸ τοῦ συνδέσμου τῶν ἰχθύων ἐπὶ τὸν κριὸν ποιεῖ, ἀπὸ τῶν τῆς Ἥρας μαζῶν Ἡρακλεῖ προ- D χυθῆναι λόγος Διὸς ταγαῖς. ὥστε κατ᾽ αὐτοὺς, περὶ τῆς Εὐρώπης, καὶ Φρίξου, καὶ τοῖν Διοσκούροιν, καὶ τῶν ἄλλων ζωδίων, τῶν ἐξ ἀνθρώπων καὶ θηρῶν καταστερισθέντων, οὔπω γένεσις ἦν· ἀλλὰ χωρὶς γενέσεως ἐβίωσαν ἡμῶν οἱ παλαιότεροι. ἐπιχειρητέον γὰρ μήπως τὸ ψεῦδος ἰσχύσωμεν,

ὥσπερ

A ὥσπερ ἰατροὶ φαρμάκοις τῶν λόγων ἀμβλυώσαντες ἰατρικοῖς σβέσαι, τῇ δὲ σκοπεῦσαι τὴν ἀλήθειαν. εἰ κρεῖσσον ἦν τὸ ὑπὸ γένεσιν εἶναι τοὺς ἀνθρώπους, ὦ σχέτλιοι, τοῦ μὴ εἶναι, διὰ τίνα αἰτίαν οὐκ αὐτόθεν, ἀφ᾽ οὗπερ ἔφυ τὸ γένος τῶν ἀνθρώπων, γένεσις ἦν; εἰ δὲ ἦν, τίς χρεία τῶν ὑπόγυον κατηστερισθέντων, λέοντος, καρκί- B νου, διδύμων, παρθένου, ταύρου, ζυγοῦ, σκορπίου, κριοῦ, τοξότου, ἰχθύων, αἰγόκερω, ὑδροχόου, περσέως, κασσιεπείας, κηφέως, πηγάσου, ὕδρου, κόρακος, κρατῆρος, λύρας, δράκοντος, καὶ τῶν ἄλλων, ἐξ ὧν εἰσηγεῖσθε κατακοσμηθέντας τοὺς πολλοὺς κατειληφέναι τὴν μαθηματικὴν C ταύτην, μᾶλλον δὲ καταθεματικὴν πρόγνωσιν; ἤτοι οὖν καὶ ἐπὶ τῶν ἔμπροσθεν γένεσις ἦν, καὶ μάταιος ἡ τούτων σύστασις· ἢ οὐκ ἦν, καὶ εἰς τὴν κρείττονα κατάστασιν καὶ διαγωγὴν ὁ Θεὸς τὸν βίον μετέστησεν, τῶν ἔμπροσθεν χείρονα βιωσάντων χρόνον· ἀλλὰ κρείττους οἱ παλαιότεροι τῶν νῦν· ὅθεν καὶ χρυσοῦν ἐκλήθη- D σαν γένος· οὐκ ἄρα ἡ γένεσις. εἰ ὁ ἥλιος καθιππεύων τοὺς κύκλους, καὶ ἐπιπορευόμενος ἐτησίοις τὰ ζώδια περιόδοις, τὰς μεταβολὰς ἀπο-

A vitam, & genus hominum corripuit: cui nos age, velut medici, conemur extinguendæ temperandæve, ſi qua poſſumus, idonea conferre medicamenta. Heus vos adeſte animis: ſi erat melius ſubditos natali neceſſitate naſci homines, ô miſeri, quàm oriri ab illa liberos: quare non ab ipſo protinus initio, B cùm primum eſſe homines cœperunt, natalis iam tum fatalitas conſtituta eſt? Quòd ſi iam tum erat: quid opus fuit ſiderari poſtea, conſtellaríque variis ſubinde caſibus Leonem, Cancrum, Geminos, Virginem, Taurum, Libram, Scorpium, Arietem, Sagittarium, Piſces, C Capricornum, Aquarium, Perſeum, Caſſiepeam, Cepheum, Pegaſum, Hydrum, Coruum, Craterem, Lyram, Draconem, & alia eiuſmodi, quorum obſeruationibus eruditos plerosque iſtos artis magiſtros huius ponitis didiciſſe Mathematicam iſtam, aut potius Catathematicam prænotionem? Enimuero D ſi primorum æuo mortalium natalis iam erat fatalitas: inutilis hæc fuit animalium in cælos euectio. Si verò non erat, & ſecundis Dei curis inſtituta res hæc eſt: vtique credendum elimare ſuum opus creatorem emendaréque adiunctione iſtâ voluiſſe: ac cùm primi homines re præclara infeliciter caruerint, meliorem in hoc poſterorum ſortem conſulente ipſis Deo eſſe factam. Atqui vobis ipſis conſtat autoribus, feliciorem à principio fuiſſe hominum vitam: vnde illos appellatis aureum genus. Non eſt igitur natalis fatalitas. Si ſol ſuperequitans circulos, & annuis ſigna obiens periodis, mutationes efficit con-

A uerſionéſque reducit ſtatas temporum: qui antequam ſigna mutatis in ſtellas animalibus conflarentur, iiſque ornaretur cælum, nati iam erant, quo pacto viuere poterant nondum æſtate, autumno, hyeme, vere diſcretis, per quarum tempeſtatum mutuâ mixtam ſucceſſione temperiem, corporum B alitur, augetur, coaleſcítque natura? Atqui non ſolùm vixerunt, ſed longæuiores robuſtioréſque durarunt quàm qui nunc viuimus: ſimili videlicet tunc quoque tempeſtatum vice diuinæ nutu Prouidentiæ mundum vegetante. Non igitur per fortuitos caſus diuerſo tempore, ſubuectis in cælum animalibus C auctus terræ coloniis æther eſt, & fabuloſis figuris variegatus. Si Sol, Luna, cæteráque ſidera diſtinguendis ſeruandíſque numeris temporum, ornandóque cælo ac vicibus tempeſtatum inducendis, facta, diuina ſunt, & naturæ humanâ præſtantioris: neceſſariò conſequens inde D fit, meliorem ipſa quàm hęc noſtra eſt, nempe beatam, tranquillam, iuſtitiâ virtutéque ſupra humanum morem compoſitam vitam degere; cuius indicium ſit ordinatiſſimorum æterna, & felix conſtantia motuum. Si verò mortalium infelices caſus, inſana conſilia, fœda facinora, machinantur ipſa, operantúrque vehementiſſimis ad ea, & ineluctabilibus adigentia impulſibus; ſi flagitiis turpiſſimis, ſi mutationibus morum & vitæ tragicis attendunt; ſi ſtudio víque additâ mala mundi vrgent & perpetrant: vtique iam nequiora & miſerabiliora ipſis hominibus ſint; quippe in terrenam humilitatem cæleſte faſtigium depri-

A πλεῖ, καὶ τὰς τροπὰς τῶν καιρῶν, ὅτι πρὸ τοῦ καταστερισθῆναι τὰ ζώδια γεγονότες, καὶ κοσμηθῆναι τούτοις τὸν οὐρανὸν, πῶς διήρκεσαν, μηδέπω θέρους, μετοπώρου, χειμῶνος, ἔαρος διακεκριμένων, δι' ὧν ἡ τοῦ σώματος αὔξεται καὶ συγκρατεῖται φύσις; ἐξήρκεσαν, καὶ πολυχρονιώτεροι B γεγόνασι, καὶ ῥωμαλεώτεροι παρὰ τοὺς νῦν, ὁμοίως καί ποτε διευθύνοντος τοὺς καιροὺς θεοῦ. οὐκ ἄρα ἐκ τοιούτων ὁ οὐρανὸς πεποίκιλται σχημάτων. εἰ ὁ ἥλιος, καὶ ἡ σελήνη, καὶ τὰ ἄλλα ἄστρα, τὰ εἰς διορισμὸν καὶ φυλακὴν ἀριθμῶν χρόνου γεγονότα καὶ κόσμου οὐρανοῦ, καὶ τροπὰς καιρῶν, θεῖά ἐστι καὶ κρείτ- C τονα τῶν ἀνθρώπων· ἀνάγκη καὶ κρείττονα βίον, καὶ μακάριον αὐτὰ καὶ εἰρηνικὸν, καὶ πολλῷ τοῦ ἡμετέρου βίου διαλλάττοντα δικαιοσύνῃ καὶ ἀρετῇ διάγειν, κινούμενα κίνησιν εὔτακτον καὶ εὐδαίμονα· εἰ δὲ τῶν θνητῶν συμφορὰς καὶ κακοφροσύνας αὐτὰ τεκταίνεται καὶ D ἐνεργεῖ, περὶ τὰς ἀσελγείας ἀσχολούμενα, καὶ τὰς μεταβολὰς, καὶ τροπὰς τοῦ βίου, ἄρα ἀθλιώτερα τῶν ἀνθρώπων ἐστὶν, εἰς τὴν γῆν βλέ-

A ποντα καὶ τὰς ἐπικήρους καὶ ἀθέσμους πράξεις, καὶ μηδὲν κρεῖττον τῶν ἀνθρώπων διάγοντα, εἴγε τῆς ἐκείνων ἀποῤῥοίας καὶ κινήσεως ὁ ἡμέτερος ἤρτηται βίος. εἰ πᾶσα πρᾶξις χωρὶς ἐπιθυμίας οὐ γίνεται, οὐδὲ μὴν ἐπιθυμία χωρὶς ἐνδείας, ἀνενδεὲς δὲ τὸ θεῖον· ἀνεν- B νόητον ἄρα πονηρίας· καὶ εἰ ἡ τῶν ἄστρων φύσις ἐγγυτέρω τέτακται Θεοῦ, κρείσσων οὖσα τῆς τῶν κρειττόνων ἀνθρώπων ἀρετῆς, ἀνεννόητα κακίας ἐστὶ καὶ ἀνενδεῆ τὰ ἄστρα. καὶ ἄλλως. πᾶς ἡμῖν ὁμολογήσει τῶν πεπεισμένων τὸν ἥλιον, καὶ τὴν σελήνην, καὶ τοὺς ἀστέρας εἶναι θεῖα, C καὶ μακρὰν ἀπῳκίσθαι κακίας, καὶ τῶν γηγενῶν πράξεων· ἀνεπίδεκτα πάθους ἡδονῆς ὄντα, καὶ λύπης· οὐ γὰρ προσεῖναι τοῖς οὐρανίοις τοιαύτας ὀρέξεις βδελυκτάς· εἰ δὲ τούτων ἐκτὸς, καὶ ἀνενδεῆ πεφύκασι, πῶς τοῖς ἀνθρώποις ἃ μὴ αὐτὰ βούλονται, καὶ ὧν ἐκτός εἰσι, τεκ- D ταίνονται; οἱ διοριζόμενοι τὸν ἄνθρωπον μὴ εἶναι αὐτεξούσιον, ἀλλ' ἀνάγκαις ἀφύκτοις εἱμαρμένης λέγοντες οἰακίζεσθαι, καὶ ἀγράφοις προστάγμασιν, εἰς αὐτὸν ἀσεβοῦσι

A mentia, vltro in vilibus nefariiſque occupata factis: neque omnino quidquam cur hominibus præferantur habentia, ſi ab eorum influxu, & motu noſtra vita pendet. Si nullum ſine præuio cupiditatis impulſu fit opus; neque cupiditas abſque indigentiæ irritamento conci- B pitur; indigentiæ porrò ſit expers, id quod diuinum eſt: idem neceſſariò incapax fuerit conſciſcendæ perpetrandæque prauitatis. Si rurſus Aſtrorum natura diuinæ affinis admotáque eſt, eminens perfectione ſupra perfectiores hominum: innocens vtique inconſciáque mali- C tiæ, vri & egeſtatis incapax cæleſtium luminum natio fuerit. Idem proponamus aliter. Quiuis ex iis qui ſibi perſuaſerunt ſolem, lunam, & ſtellas, diuinas eſſe res, aſſentietur profectò nobis longè ipſas à malitia diſiunctas abhorrere, à dedecore prauarum actionum, quarum D ortus è terrâ eſt, cuius à contagione aſtra remotiſſima, nec voluptatis nec doloris attingi perturbationibus queunt: neque enim ineſſe cæleſtibus pudenda hæc, & abominabilia vitia fœdarum cupiditatum. Si autem horum expertia nulliúſque ſunt indiga: quomodo hominibus ea inſpirant, quæ ipſa non cogitant, quæ non probant, quæ oderunt, à quibus longiſſimè abhorrent? cur illa, inquam, ipſa inſuperabilibus decretis, inuictis impulſibus ingerunt obtrudúntque hominibus? Planè qui definiunt hominem, non eſſe ſui liberè potentem; & ineuitabili neceſſitate fati, ac non ſcriptis, impreſſis legum æternarum iuſſis ferri agíque ineluctabili fatalitate docent humanam vitam: in ipſum impiè

A ſe gerunt Deum, quem ſic inducunt autorem effectorémque peccatorum humanorum. Si enim aſtrorum vniuerſum circularem motum modulatè Deus ipſe ineffabili ſapientia, & inexcogitabili diſpenſat, clauum vniuerſi rectiſſimè gubernans: aſtra verò qualitates neceſſariò effectrices malitiæ, virtutíſque influunt in vitam, neceſſitatis B adamantinis vinculis homines in iſta tracturas: autorem vtique & tributorem malorum profitentur Deum. Atqui omnium ſenſu iudicióque prorſus innocens omnis culpæ Deus eſt. Explodatur ergo natalis fatalitas. Quicumque vel minimâ eſt aſperſus ſenſus boni particulâ, fatebitur ſtatim numen diuinum bonum, iuſtum, ſapiens, C verum, ad iuuandum pronum, alienum à procurandis malis, non implicitum vitioſis affectibus eſſe; aliáque talia ipſi attributa conuenire. Iam ſi & iuſti meliores iniuſtis ſunt, iiſque inuiſa eſt iniuſtitia; & iuſtitiâ Deus, quippe qui iuſtus ſit, gaudet: odioſa profectò ipſi eſt iniuſtitia, quæ iuſtitiæ contraria D & infenſa eſt: non eſt igitur autor iniuſtitię Deus. Si quod ſemper ad omnia prodeſt, bonum eſt; prodeſt autem caſtitas & domo, & vitæ, & amicis: bona vtique eſt caſtitas. Quòd ſi naturâ bona eſt caſtitas, caſtitati verò luxuria contraria: id autem eſt malum, quod bono contrarium eſt: ſequitur malam eſſe luxuriam. Quòd ſi luxuria naturâ mala eſt, per eam autem fiunt

A τὸν Θεὸν, παρεκτικὸν αὐτὸν τῶν ἀνθρωπίνων κακῶν καὶ ποιητὴν εἰσηγούμενοι. εἰ γὰρ τὴν ἀστέρων ἅπασαν κυκλικὴν κίνησιν ἐμμελῶς αὐτὸς ἀφράστῳ σοφίᾳ καὶ ἀνεννοήτῳ διέπει, κατευθύνων τὸν οἴακα τῆς οἰκουμένης· οἱ δὲ ἀστέρες τὰς ποιότητας τῆς κακίας καὶ τῆς ἀρετῆς ἐκτελοῦσι τῷ βίῳ, ἀνάγκης δεσμοῖς B τοὺς ἀνθρώπους ἕλκοντες εἰς ταῦτα· αἴτιον τῶν κακῶν τὸν Θεὸν ἀποφαίνονται καὶ δότην· ἀλλ' ἀναίτιος πᾶσι πάσης βλάβης ὁ Θεός· οὐκ ἄρα γένεσις. πᾶς ὅστις κἂν βραχὺ συνετὸς ὁμολογήσει τὸ θεῖον ἀγαθὸν, δίκαιον, σοφὸν, ἀληθὲς, ὠφέλιμον, ἀναίτιον κακῶν, ἀσύμπλοκον πάθους, καὶ πᾶν ὅ, τι C τοιοῦτο· καὶ εἰ οἱ δίκαιοι κρείσσους εἰσὶ τῶν ἀδίκων, καὶ ἔστιν αὐτοῖς ἡ ἀδικία βδελυκτὴ, χαίρει δὲ ὁ Θεὸς τῇ δικαιοσύνῃ δίκαιος ὢν, στυγητὴ αὐτῷ ἡ ἀδικία, ἐναντίον οὖσα καὶ ἐχθρὸν τῇ δικαιοσύνῃ· οὐκ ἄρα ἀδικίας αἴτιος ὁ Θεός. εἰ τὸ ὠφελοῦν πάντως ἐστὶν ἀγαθὸν, ὠφέλιμον δὲ σωφροσύνη καὶ οἴκῳ, καὶ βίῳ, καὶ φί- D λοις· ἀγαθὸν ἄρα ἐστὶν ἡ σωφροσύνη. καὶ εἰ ἡ σωφροσύνη φύσει ἀγαθὸν, ἀκολασία δὲ ἐναντίον σωφροσύνῃ, τὸ δὲ ἐναντίον τῷ ἀγαθῷ κακόν· κακὸν ἄρα ἡ ἀκολασία. καὶ εἰ ἡ ἀκολασία φύσει κακὸν, κατὰ ἀκολασίαν δὲ μοιχεῖαι

γίνονται, καὶ κλοπαὶ, καὶ ὀργαὶ, καὶ φόνοι· φύσει ἄρα κακόν ἐστιν ὁ ἀκόλαστος βίος· τὸ δὲ θεῖον κακῶν ἀσύμπλοκον πέφυκεν· οὐκ ἄρα γένεσις. εἰ οἱ σώφρονες βελτίους εἰσὶ τῶν ἀκρατῶν, καὶ ἔστιν αὐτοῖς ἡ ἀκρασία βδελυκτὴ, χαίρει δὲ ὁ θεὸς τῇ σωφροσύνῃ, παθῶν ἀνεννόητος ὤν· στυγητὴ ἄρα καὶ τῷ θεῷ ἡ ἀκρασία. ὅτι δὲ ἡ κατὰ σωφροσύνην πρᾶξις, ἀρετὴ οὖσα, κρείττων ἐστὶ τῆς κατὰ ἀκρασίαν, κακίας οὔσης, μαθεῖν ἐστιν ἀπὸ βασιλέων, ἀπὸ ἀρχόντων, ἀπὸ στρατηγῶν, ἀπὸ γυναικῶν, ἀπὸ τέκνων, ἀπὸ πολιτῶν, ἀπὸ δεσποτῶν, ἀπὸ οἰκετῶν, ἀπὸ παιδαγωγῶν, ἀπὸ διδασκάλων. ἕκαστος γὰρ τούτων καὶ ἑαυτῷ καὶ τῷ κοινῷ ὠφέλιμος γίνεται σωφρονῶν· ἀκολασταίνων δὲ, καὶ ἑαυτῷ καὶ τῷ κοινῷ βλαβερός. καὶ εἰ ἔστι διαφορά τις κιναίδων, καὶ ἀνδρείων· ἀκολάστων, καὶ σωφρόνων· καὶ ἔστι κρείσσων ἡ τῶν ἀνδρείων, καὶ σωφρόνων, χείρων δὲ ἡ τῶν ἐναντίων· οἱ δὲ τοῦ κρείσσονος, ἐγγύς εἰσι καὶ φίλοι θεοῦ, καὶ οἱ τῆς χείρονος, μακρὰν, καὶ ἐχθροί· οἱ λέγοντες γένεσιν τὸ αὐτὸ τὴν ἀδικίαν εἶναι καὶ τὴν δικαιοσύνην, οὐ διορίζονται κιναιδίαν καὶ ἀνδρείαν, ἀκρασίαν καὶ σωφροσύνην· ὅπερ ἀδύνατον. εἰ γὰρ τῷ κακῷ τἀγαθὸν ἐναντίον, τὸ δὲ ἄδικον κακὸν,

A adulteria, furta, iurgia, cædes: naturaliter ergo mala eſt vita luxurioſa. Diuinum porrò numen malis implicitum non eſt. Explodatur ergo fatalitas natalis. Si caſti meliores ſunt luxurioſis, iiſque abominabilis eſt luxuria: delectatur verò Deus caſtitate, ipſe inconſcius flagitiorum: exoſa vtique Deo B nequitia eſt. Porrò actionem quæ ex præſcripto caſtitatis fit, quæ certè virtus eſt, potiorem eſſe illâ, quæ luxuriæ impulſu perpetratur, ſine dubitatione pertinente ad vitium: intelligere licet ex regibus, ex magiſtratibus politicis & militaribus, ex mulieribus, ex filiis, ex ciuibus, ex patribusfamilias, C ex ſeruis, ex pædagogis, ex magiſtris: vnuſquiſque enim horũ & ſibi, & publico vtilis eſt ſi caſtus ſit: ſin luxurioſus, tam ſibi quàm publico noxius. Etenim ſi diſcrimen eſt cynædorũ, & generoſorum; petulantium, & caſtorum: & eſt melior generoſorum & caſtorum natio, quàm aliorũ ipſis oppoſitorum ſecta: ſi etiam qui partis melioris affines D ſunt, Deo placent, eiúſq; amicitiâ beantur; qui verò ad ſequiorem pertinent, longè à Deo diſtant, infenſi ei, viciſsímque infenſum habentes eum: qui dicunr fatalitate natali perinde iniuſtitiam atque iuſtitiam afflari, non diſtinguunt cynædorum mollitiem à magnanimitate, à caſtitate luxuriam: quæ in vnum conflari arte nullâ queunt. Si enim malo bonum contrarium eſt, iniuſtum autem malum:

A & hoc iuſto contrarium: porrò quod iuſtum, idem bonum: bonum autem inimicum malo: diſſimile verò malum bono: aliud omnino erit longéque diuerſum iuſtum ab iniuſto. non igitur autor malorum Deus: nec gaudet malis, eóſve approbat Verbum naturali, & originali bonitate præditum. Quod ſi quidam mali ſunt, errore ac
B defectu mentis proprio, non natali fatalitate mali ſunt,

Nequitiis ſibi damna ſuis mortémque creantes,

ſi hominem interficere, & cæde manus cruentare natalis fatalitas ſubigit, idem autem lex vetat, ſupplicia ſicariis decernens, minísque grauibus deterrens ab iis quæ natalis fatalitas
C iniungit; putà ab iniuriâ inferendâ, ab adulterando, à furando, à veneficio exercendo; contraria ergo inter ſéque commiſſa ſunt natalis fatalitas & lex. Quæcumque enim lex prohibet, natalis fatalitas facere adigit: aduerſaria ergo natali fatalitati lex. Si autem aduerſaria, non igitur per natalem fatalitatem legumlatores agunt: quip-
D pe qui contraria fatalitati ſanciant, & eam quantum in ipſis eſt deſtruant. Aut igitur natalis admittitur fatalitas; & tunc non oportet leges eſſe: aut leges ſũt, & non ſunt ex natali fatalitate. Sed vt iſti volunt, nequit fieri, vt quis ſine natali fatalitate naſcatur, aut operetur quippiam. Neque enim vel digitum poſſe aiũt ſine imperio fati mouere quẽquam. Igitur ſub natali fatalitate orti

A τοῦτο δὲ ἐναντίον τῷ δικαίῳ, τὸ δὲ δίκαιον ἀγαθόν, τὸ δὲ ἀγαθὸν ἐχθρὸν τοῦ κακοῦ, ἀνόμοιον δὲ τὸ κακὸν τῷ ἀγαθῷ· ἕτερον ἄρα τὸ δίκαιον τοῦ ἀδίκου· οὐκ ἄρα αἴτιος κακῶν ὁ θεός, οὐδὲ χαίρει τοῖς κακοῖς, οὐ συνίστησιν αὐτοὺς ὁ λόγος ἀγαθὸς ὤν· εἰ εἰσὶ δὲ πονηροί τινες, κατὰ ἔνδειαν φρενῶν εἰσὶν οὗτοι πο-
B νηροί, καὶ οὐ κατὰ γένεσιν

Σφῇσιν ἀτασθαλίῃσιν ὑπέρμορον ἄλγε' ἔχοντες.

εἰ τὸ ἀνελεῖν τινα, καὶ φόνῳ τὰς χεῖρας αἱμάξαι γένεσις ἐργάζεται, τοῦτο δὲ νόμος κωλύει, κολάζων τοὺς ἀλάστορας, καὶ δι' ἀπειλῆς ἀπείργων τὰ τῆς γενέσεως δόγματα, οἷον τὸ ἀδικῆσαι, μοιχή-
C σασθαι, κλέψαι, φαρμακεῦσαι· ἐναντίον ἄρα ὁ νόμος γενέσει· ὅσα μὲν γὰρ γένεσις ὥρισε, ταῦτα νόμος κωλύει· ὅσα δὲ νόμος κωλύει, ταῦτα γένεσις ποιεῖν βιάζεται· πολέμιον ἄρα γενέσει νόμος· εἰ δὲ πολέμιος, οὐκ ἄρα κατὰ γένεσιν οἱ νομοθέται. τὰ γὰρ ἐναντία δογματίζοντες γενέσει, γένεσιν λύουσιν. ἤτοι
D οὖν γένεσίς ἐστι, καὶ οὐκ ἐχρῆν εἶναι νόμους· ἢ εἰσὶ νόμοι, καὶ οὐκ εἰσὶ κατὰ γένεσιν· ἀλλ' ἀμήχανον χωρὶς γενέσεως φῦναί τινα, καὶ διαπράξασθαί τι. οὐδὲ γὰρ τὸν δάκτυλον ἐξεῖναί φασι χωρὶς εἱμαρμένης κινῆσαί τινι. κατὰ γένεσιν ἄρα καὶ

Μίνως, καὶ Δράκων, καὶ Λυκοῦργος, καὶ Σόλων, καὶ Ζάλευκος νομοθέται φῦντες, διετάξαντο τοὺς νόμους, ἀπαγορεύοντες μοιχείας, φόνους, βίας, ἁρπαγάς, κλοπάς, ὡς οὐκ ὄντων τούτων καὶ γινομένων κατὰ γένεσιν. εἰ δὲ κατὰ γένεσιν καὶ ταῦτα, οὐ κατὰ γένεσιν οἱ νόμοι. οὐ γὰρ ἂν αὐτὴ ἀφ' ἑαυτῆς ἀνῃρεῖτο γένεσις, αὐτὴ ἑαυτὴν ἀκυροῦσα, καὶ αὐτὴ ἑαυτῇ μαχομένη· καὶ ἐνταῦθα μὲν ἀπαγορευτικοὺς μοιχείας καὶ φόνων νόμους τιθεμένη, καὶ τιμωρουμένη, καὶ ἐπεξεργαζομένη τοὺς κακούς· ἐνταῦθα δὲ φόνους καὶ μοιχείας ἐργαζομένη· ἀλλὰ τοῦτο ἀδύνατον· οὐδὲν γὰρ ἀλλόκοτον αὐτὸ ἑαυτοῦ, καὶ αὐτὸ ἑαυτῷ ἀπεχθανόμενον, καὶ αὐτὸ ἑαυτὸ καταλῦον, καὶ ἀσύμφωνον αὐτὸ ἑαυτῷ· οὐκ ἄρα γένεσις. εἰ κατὰ γένεσιν πᾶν ὅ,τι ποτοῦν γίνεται, καὶ ἔστι δίχα γενέσεως οὐδὲν, ἀνάγκη καὶ τὸν νόμον γενέσει γεγονέναι· ἀλλὰ νόμος γένεσιν ἀναιρεῖ, διδακτὴν διδάσκων τὴν ἀρετὴν, καὶ ἐξ ἐπιμελείας προσγινομένην· φευκτὴν δὲ τὴν κακίαν, καὶ ἐξ ἀπαιδευσίας φυομένην· οὐκ ἄρα γένεσις. εἰ τὸ ἀλλήλους ἀδικεῖν καὶ τὸ ὑπ' ἀλλήλων ἀδικεῖσθαι γένεσις ποιεῖ, τίς χρεία νόμων; εἰ δὲ ἵνα τοὺς ἁμαρτάνοντας ἀμύνωνται, φροντίζοντος τοῦ Θεοῦ

A Minos, Dracon, Lycurgus, Solon, Zaleucus legumlatores ſanxerunt leges prohibentes adulteria, cædes, inſultus iniuſtos, rapinas, furta, haud dubiè arbitrati, neque eſſe neque fieri talia per natalem fatalitatem. Quòd ſi hæc per fatalitatem natalem, profectò per fatalitatem natalem leges non erunt. Neque B enim ipſa ſeipſam natalis fatalitas deſtrueret, ipſa ſibi ipſi autoritatem detraheret, ipſa ſecum pugnaret: hinc quidem leges ſtatuens adulteria cædéſque prohibentes; & vlciſcens malíſque mactans talium criminum reos: aliunde autem ad cædes atque ad adulteria homines adigens, quod fieri nullo C pacto poteſt. Nihil enim à ſeipſo alienum eſt: nihil vnum idémque infenſum ſibi ipſi, ſeſe ipſum deſtruens, à ſeipſo diſſentaneum. Nulla eſt igitur natalis fatalitas. Si ſecundùm natalem fatalitatem fit omne quodcumque eſt, & ſine illa omnino nihil exiſtit, legem ipſam neceſſe eſt per natalem fa- D talitatem exiſtere. Sed lex natalem fatalitatem tollit, ſuaderi addiſcíque poſſe virtutem docens; & diligentiâ eam attentionéque comparari, fugiendam verò malitiam dictans, quæ ex errore mentis ſtultitiáque oriatur: nulla ergo eſt natalis fatalitas. Si mutuò iniurias inferri, & ab inuicem iniurias perpeti, natalis fatalitas ſubigit: quæ vtilitas legum? Si enim quis dicat leges inuentas ad vltionem peccantium, Deo con-

ſulente infirmis iniuriam patientibus; reponetur illi: longè futurum fuiſſe melius, non adigere fatali neceſſitate ad malitiam malos, quàm poſtquam hoc factum eſt legum adhibere medicinam. Atqui bonus & ſapiens, benéque & ad melius cuncta operans Deus eſt. Nulla ergo fatalitas natalis. Aut educationes & mores peccatorum cauſæ ſunt, aut perturbationes animæ, & cupiditates ſenſibus irritatæ corporis. Quidquid autem horum peccati cauſa ſit, iis quibus cauſa eſt: ſi melius eſt iuſtum eſſe, quàm iniuſtum, quare talis ab ipſo protinus principio non naſcitur homo? Si verò dicas, deinde, vt melior fiat, corrigi præceptis & legibus: profectò vt ſui potens líbérque agnoſcitur, non autem natali fatalitate malus: aliter enim non poſſet corrigi. Si mali fatali neceſſitate naſcuntur mali, prouidentiæ ineluctabili decreto, non ſunt reprehenſibiles, nec ſuppliciis digni quæ decernunt leges: quippe qui viuant iuxta propriam naturam, nec mutare ſeipſos poſſint. Rurſus: ſi boni iuxta propriam naturam viuentes ſunt laudabiles, cùm fatalitas natalis ipſos ineuitabiliter efficiat bonos: ne mali quidem iuxta propriam ad malum determinatam agentes, culpandi erunt ab æquo iudice. Etenim, ſi clarè loquendum eſt, quicumque iuxta qualemcumque ipſi congenitam, & penitus inſitam naturam viuit, in eo quidem expers peccati eſt. Non enim

A τῶν ἀδικουμένων· ἄμεινον ἦν κακοὺς μὴ ποιῆσαι καθ' εἱμαρμένην, ἢ μετὰ τὸ ποιῆσαι, νόμοις ἐπανορθοῦσθαι. ἀλλ' ἀγαθὸς ὁ θεὸς, καὶ σοφὸς, καὶ τὰ κρείσσω ποιῶν· οὐκ ἄρα γενέσεις. ἤτοι αἱ ἀνατροφαὶ καὶ τὰ ἔθη τῶν ἁμαρτημάτων εἰσὶν αἴτια, ἢ τὰ πάθη τῆς ψυχῆς, καὶ αἱ διὰ σώματος ἐπιθυμίαι· ὁπότερον δ' ἂν τούτων ᾖ τὸ αἴτιον,
B οἷς ἂν ᾖ αἴτιον, εἰ κρεῖσσόν ἐστι τὸ δίκαιον εἶναι τοῦ ἀδίκου, διὰ τί τοιοῦτος αὐτόθεν ὁ ἄνθρωπος ἀπὸ τῆς γενέσεως οὐ γίνεται; εἰ δὲ ὕστερον, ὅπως ἀμείνων γένηται, σωφρονίζεται μαθήμασι καὶ νόμοις· ὡς αὐτεξούσιος ἄρα σωφρονίζεται, καὶ οὐκ ἐκ φύσεως ὢν κακός. εἰ οἱ πονηροὶ,
C πονηροὶ κατὰ γένεσιν φύουσι προνοίας ταγαῖς, οὐκ εἰσὶ μεμπτοὶ, καὶ ἄξιοι τιμωρίας τῆς ἐκ τῶν νόμων, ζῶντες κατ' αὐτὴν τὴν οἰκείαν φύσιν· ἐπεὶ μὴ δεδύνηνται μεταβληθῆναι. καὶ ἄλλως· εἰ οἱ ἀγαθοὶ κατὰ τὴν οἰκείαν φύσιν ζῶντες, εἰσὶν ἐπαινετοὶ, τῆς γενέσεως οὔσης αἰτίας τοῦ εἶναι τοὺς ἀ-
D γαθούς· οὐδὲ οἱ πονηροὶ ἄρα κατὰ τὴν οἰκείαν φύσιν ζῶντες αἰτιατέοι παρὰ δικαίῳ κριτῇ. καὶ εἰ χρὴ διαῤῥήδην εἰπεῖν, ὁ κατὰ τὴν προσοῦσαν αὐτῷ φύσιν ζῶν, οὐδὲν ἁμαρτάνει· οὐ γὰρ

ἑαυτὸν

ἑαυτὸν ἐποίησε τοιοῦτον, ἀλλ' ἡ εἱμαρμένη· καὶ ζῇ κατὰ τὴν ταύτης κίνησιν, ἀγόμενος ἀφύκτοις ἀνάγκαις· οὐδεὶς οὖν κακός· ἀλλ' εἰσὶ κακοί. καὶ ἡ μὲν κακία ψεκτὴ, καὶ ἐχθρὰ τῷ θεῷ, ὡς συνέστησεν ὁ λόγος· ἡ δὲ ἀρετὴ προσφιλὴς καὶ ἐπαινετὴ, Θεοῦ διατάξαντος νόμον τιμωρὸν κακῶν· οὐκ ἄρα εἱμαρμένη. Καὶ τί τοσοῦτον ἐπιδιατρίβουσα τοῖς ἐλέγχοις, εἰς μῆκος ἐξάγω τὸν λόγον, τὰ ἀναγκαιότερα καὶ χρησιμώτερα πρὸς πειθὼ καὶ συγκατάθεσιν τοῦ συμφέροντος ἐκθεμένη; καὶ πρόδηλον πᾶσι, καὶ ἐξ ὀλίγων, τὴν διαφωνίαν τοῦ τεχνήματος αὐτῶν ἐξεργασαμένη, ὥστε διορᾶν ἐξεῖναι καὶ ἐπαισθάνεσθαι τὴν πλάνην ἤδη καὶ παιδίῳ, ὡς ἐφ' ἡμῖν ἐστι τὸ διαπράξασθαι τὸ καλὸν ἢ τὸ κακὸν, καὶ οὐκ ἐν τοῖς ἀστράσι· δύο γὰρ κινήσεε ἐν ἡμῖν ἐστὸν ἐπιθυμία πεφυκότε σαρκὸς καὶ ψυχῆς, διαφέρετον ἀλλήλοιν, ὅθεν καὶ δύο λαβέτην ὀνόματα· ἡ μὲν γὰρ ἀρετῆς, ἡ δὲ κακίας. δεῖν δὲ τῇ καλλίστῃ καὶ χρυσῇ πείθεσθαι τῆς ἀρετῆς ἀγωγῇ τὰ βέλτιστα πρὸ τῶν φαύλων αἱρουμένους. ἀλλὰ περὶ τούτων ἅλις ἤδη, καὶ ἐφέξω τὸν λόγον· αἰδοῦμαι γὰρ μετὰ τοὺς τῆς ἁγνείας λόγους, καὶ ἐγκαλύπτομαι

A ſeipſum talem fecit, ſed fatum: cuius inuicto impulſui neceſſario ſic agens obſequitur, vinculis adamantinis irreuocabiliter tractus. Nemo igitur malus eſt. Atqui ſunt multi mali. Et malitia quidem odio digna eſt, Deóque inimica, vt ſuperiùs euici: virtus verò amabilis B & laudanda, cûm Deus legem ordinauerit vltricem malorum. Non igitur eſt fatum. Quid ego autem intendendis ſtringentium elenchorum machinis, quaſi ad tormentis exprimendam manifeſtæ confeſſionem veritatis diutius immoror? cùm ad morum compoſitionem vtiliora auditúque iucundiora expoſuerim, & artis vaniſſimæ diſſenſionem à ſeip- C ſâ nemini non manifeſtam, quamuis paucis ex capitibus, fecerim*: vt iam errorem iſtorum planè ſentire ac perſpicere vel pueri poſſint: intelligeréque, in noſtra omnino libera poteſtate ſitum eſſe, bonum efficere aut malum, non autem in ſtellis. Duo quip- D pe motus in nobis ſunt, vterque concupiſcentia vocati, altera carnis, altera ſpiritus. Hæ contrariæ inuicem ſunt: vnde & nominibus diſcriminantur, virtutis, vitiíque. Oportet autem pulcherrimæ & aureæ obtemperare inſtitutioni virtutis, optima præ deterioribus eligendo. Sed de his iam ſatis. Tenebo enim me ne plura dicam, verecundiâ quadam, ne hactenus habitos de Virginitate ſermones, hac parum congruente nugarum commemoratione con-

taminem. Et pudet certè mentes audientium affigere cognitioni ſtultiſſimarũ opinionum, in quibus iſti ridendo tumore turgidi ſiderum natalium contemplatores totum vitæ tempus miſerè perdunt, fabuloſis vnicè attendentes ineptiſque figmentis. Hæc tibi & à nobis, ô domina Arete, ex diuinis contexta ſermonibus en hîc ſiſtantur dona.

EVBVL. Quàm pugnaciter, ô Gregorium, quámque magnificè diſputauit Thecla!

GREGORIVM. Quid ſi dicenti præſens ipſi operam dediſſes, hauſiſſéſque auribus flumen aureum facundiſſimi ſermonis beatâ copiâ, facili volubilitate linguæ, incredibili gratia voluptatéque audientium ſeſe fundentis: vt admirationi attendentibus eſſet, tum ſplendor omni ornatu efflorefcentis dictionis; tum ſenſuum è mentis arcano prodeuntium raritas dignitáſque; tum pompa ipſa tota, & quaſi choragium incedentis eloquentiæ, ſpecioſè omnia magnificéque figurantis. Incendebat gratiam pronunciationis decor oríſque verecundia, ſuaue rubentis contentione ipſa niſúque dicendi: cùm alioqui tota eſſet naturâ candida, tam corpore quàm animo.

EVBVL. Rectè hæc & verè loqueris, Gregorium, noui enim ex cæteris heroïcis actis illius ſapientiam; & quæ qualiáque agere diceréque illi illuſtria contigerit, excellentis ſemper in Chriſtum caritatis documenta edenti luculentiſſima: vtque decus vna multiplicis martyrij

A τὰς τῶν μετεωρολόγων ἢ ματαιοσκόπων ἀνθρώπων ἀναγκαζομένη δόξας εἰσηγεῖσθαι, οἳ τὸν τῆς ζωῆς μετ' οἰήσεως ἀναλίσκουσι χρόνον, οὐδενὶ ἢ μυθικοῖς ἐνδιατρίβοντες πλάσμασι. ταῦτά σοι καὶ παρ' ἡμῶν, ὦ δέσποινα Ἀρετή, ἀπὸ θεοφορήτων συγκατυφασμένα λόγων προσκομιζέσθω τὰ δῶρα.

B ΕΥΒΟΥΛ. Ὡς λίαν ἀγωνιστικῶς ἡ Θέκλα καὶ ἐνδόξως, ὦ Γρηγόριον.

ΓΡΗΓΟΡΙΟΝ. Τί οὖν, εἰ αὐτῆς ἐκείνης ἀκηκόεις, ῥύδην καὶ εὐτρόχως τῇ γλώττῃ μετὰ πολλῆς χάριτος καὶ ἡδονῆς διαλεγομένης, ὥστε ἀγασθῆναί τινα προσέχοντα καὶ τῆς μορφῆς ἐ-
C πανθούσης τοῖς λόγοις, ὡς ἐνδιαθέτως, καὶ τῷ ὄντι φανταζομένως περὶ ὧν ἀφηγεῖτο διετέλει. ὑπερυθραινομένης αὐτῇ αἰδοῖ τῆς ὄψεως· ὅλη γὰρ εἶναι πέφυκε λευκὴ καὶ σῶμα καὶ ψυχήν.

ΕΥΒΟΥΛ. Ὀρθῶς, ὦ Γρηγόριον, ταῦτα φῄς, καὶ οὐδὲν αὐτῶν ψεῦδος· ἔγνων γὰρ καὶ ἀπὸ τῶν ἄλλων
D ἀνδραγαθημάτων μνήμην αὐτῆς, καὶ λέγειν ὅσα καὶ οἷα κατώρθωσεν, ὑπερβαλλούσης ἀγάπης ἐπίδειξιν ποιουμένην Χριστῷ· καὶ ὡς διαπρεπὴς πολλάκις ἐφάνη τοῖς

A μεγάλοις καὶ περιφανέσιν ἄθλοις ὑπαντῶσα, τὴν μαρτύρων ἴσην τῇ προθυμίᾳ τῆς σπουδῆς κεκτημένη, καὶ τῇ ἀκμῇ τῶν βουλευμάτων τὴν ῥώμην τοῦ σώματος.

ΓΡΗΓΟΡΙΟΝ. Ἀληθέστατα καὶ σὺ φῄς· ἀλλὰ μὴ διατρίβωμεν. τούτων γὰρ πέρι καὶ αὖθις ἔσται πολλάκις ἡμᾶς διαλέ- B ξασθαι· νῦν δὲ πρῶτον καὶ τῶν ἑξῆς παρθένων ἐξαγγεῖλαί με δεῖ σοι τοὺς λόγους, καθὼς ὑπέστην, μᾶλλον δὲ Τυσιανῆς καὶ Δομνίνας· αὗται γὰρ ἔτι περιλείπονται. ὡς οὖν ἀπεπαύσατο καὶ ἡ Θέκλα τοσαῦτα εἰποῦσα, ἔφη προστάξαι τὴν Ἀρετὴν ἡ Θεοπάτρα τῇ Τυ- C σιανῇ λέγειν· τὴν δὲ μειδιάσασαν ἔμπροσθεν αὐτῆς παρελθεῖν, καὶ φάναι.

ΤΥΣΙΑΝΗ.

ΛΟΓΟΣ θ′.

Ὦ Ἀρετή, παρθενίας ἐρασταῖς ἐπέραστον κάλλος, κἀγὼ συναντιληψομένην μοι πα- D ραστῆναί σε παρακαλῶ, μή πως ἀπορήσω λόγων, ἅτε πολλῶν ἤδη καὶ παντοδαπῶν εἰρημένων. διὸ καὶ παραιτοῦμαι τὰ προοιμιώδη ταῦτα, καὶ προκατασκευαστικὰ τῶν λόγων, ἵνα μὴ χρονίζουσα προσήκοντα τούτοις ἐφαρμόττειν,

A ſæpius iteratis ingentium certaminum claris victoriis glorioſè tulerit, in quibus & magnanimitas aggrediendi, & ardor rem gerendi, paria fuerunt: magnitudiníque conſiliorum, & mentis ex æquo ſemper reſpondit firmitas robúrque corporis.

GREGORIVM. Veriſſima B & tu narras. ſed ne his immoremur. Nam de talibus & aliàs ſæpe, cùm libebit, agere inter nos poterimus. Nunc ante omnia reddere me tibi, quos promiſi opus eſt reliquarum quoq; Virginum ſermones: nimirum Tyſianæ Domninæque. hæ ſiquidem reſtant ſolæ. Vt igitur finem dicẽdi Thecla fecit, iis tam multis C quę recitaui peroratis, referebat Theopatra imperaſſe Areten Tyſianæ, vt locum orandi caperet: hanc verò arridentem ante ipſam præteriiſſe, dixiſſéque.

TYSIANA.

ORATIO IX.

O ARETE, amabiliſſima Virginitatis amato- D ribus pulcritudo, & ego auxilium imploro tuum, ad id perficiendum quod iubes: ne mihi quod dicam deſit, exhauſto tot támque copioſis aliarum orationibus argumento quod tractamus. Quare in procœmiis inſinuationibúſque ſermonis tempus equidem operámque non perdam: verita, ne ſi quam res ipſæ attentionem requirunt, in adornandis exordiis conſumpſero, quod præci-

puum eſt elabatur mihi, acceſſoria ſuperuacaneè captanti. Adeo enim glorioſam rem, pretioſam etiam, & magnificam Virginitatem duco, vt totam in ſe noſtram omnibus omiſſis vertere attentionem, & contemplationem debeat. Deus cùm celebrandæ tabernaculorum feſtiuitatis veris Iſraëlitis legitimum in Leuitico ritum præſcriberet, ˙præcipuè vnumquemque iubet proprium tabernaculum exornare caſtitate. Apponam ipſa ſcripturæ verba, ex quibus ſine vlla dubitatione demonſtrabitur, quàm Deo grata acceptáque ſit noſtra hæc

Leu. 23. 39. profeſſio Virginitatis. *Quintodecimo die menſis ſeptimi, quando conſummaueritis genimina terræ, feſtum celebrabitis Domino ſeptem diebus: & die octauo erit requies. Et ſumetis die primo fructum ligni ſpecioſum, & ſpatulas palmarum, & ramos ligni denſos, & ſalices, & ramos agni de torrente, ad lætandum coram Domino Deo veſtro ſeptem diebus anni: legitimum ſempiternum in progenies veſtras. Menſe ſeptimo celebrabitis ſolemnitatem iſtam: in tabernaculis habitabitis ſeptem diebus. Omnis indigena in Iſraël habitabit in tabernaculis: vt ſciant progenies veſtræ, quod in tabernaculis habitare feci filios Iſraël, cùm educerem eos de terra Ægypti. Ego Do-*

A αὐτῶν ἐκπέσω τῶν προκειμένων. οὕτως ἔνδοξόν ἐστιν ἡ παρθενία, καὶ τίμιον, καὶ μεγαλοπρεπές. ὁ Θεὸς τὴν ἑορτὴν τῆς σκηνοπηγίας διδάσκων τοὺς ἀληθινοὺς, τοὺς ἀληθινοὺς Ἰσραηλίτας, πῶς ἑορτάζειν δεῖ, καὶ τιμᾶν, ἐν τῷ Λευιτικῷ παραινεῖ, μᾶλλον τὴν ἁγνείαν φάσκων δεῖν τὴν

B ἑαυτοῦ σκηνὴν ἕκαστον κοσμεῖν. παραθήσομαι δὲ καὶ τὰ ἀπὸ τῆς γραφῆς, ἀφ' ὧν ἀναμφισβητήτως δειχθήσεται πᾶσιν, ὅσον καὶ Θεῷ προσφορόν ἐστι, καὶ προσφιλὲς, τὸ κατόρθωμα τοῦτο τῆς ἁγνείας. Καὶ τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ ἑβδόμου, ὅταν συντελέσητε τὰ γεννήματα τῆς

C γῆς, ἑορτάσετε κυρίῳ ἑπτὰ ἡμέρας, καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἀνάπαυσις ἔσται· καὶ λήψεσθε τῇ πρώτῃ ἡμέρᾳ καρπὸν ξύλου ὡραῖον, καὶ κάλλυνθρα φοινίκων, καὶ κλάδους ξύλου δασεῖς, καὶ ἰτέας, καὶ ἄγνου κλάδους ἐκ χειμάῤῥου, εὐφρανθῆναι ἔναντι κυρίου τοῦ Θεοῦ ὑμῶν ἑπτὰ ἡμέρας τοῦ ἐνιαυ-

D τοῦ, νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν. ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ ἑορτάσετε αὐτὴν, ἐν σκηναῖς κατοικήσετε ἑπτὰ ἡμέρας. πᾶς αὐτόχθων ἐν Ἰσραὴλ κατοικήσουσιν ἐν σκηναῖς, ὅπως ἴδωσιν αἱ γενεαὶ ὑμῶν, ὅτι ἐν σκηναῖς κατῴκισα τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῷ ἐξαγαγεῖν με ὑμᾶς ἐκ γῆς Αἰγύπτου. ἐγὼ κύ-

ριος ὁ Θεὸς ὑμῶν. Πάντες ὑπολή- A ψονται οἱ Ἰουδαῖοι, ψιλῷ τῷ γραφῆς τῷ γράμματι περιπετόμενοι, ὥσπερ καὶ τὰ καλούμενα φυκία τῶν λαχάνων τοῖς φύλλοις, ἀλλὰ μὴ τοῖς ἄνθεσι καὶ καρποῖς, ὡς ἡ μέλισσα, τούτους τοὺς λόγους καὶ ταύτας τὰς νομοθεσίας περὶ σκηνῆς τοιαύ- B της, οἵας οὗτοι τεκταίνονται, λελέχθαι, ὡς τοῦ Θεοῦ χαίροντος ταῖς εὐτελέσι κατακοσμήσεσιν, αἷς αὐτοὶ κατακοσμοῦντες συσκευάζουσιν ἐκ τῶν ἀκροδρύων, οὐ συνιέντες τῶν μελλόντων ἀγαθῶν τὸν πλοῦτον· ὡς αὖρα ταῦτα καὶ σκιαὶ φασματώδεις, προεξαγγέλλουσαι τὴν ἀνάστασιν καὶ πῆξιν τοῦ πεπτωκότος εἰς γῆν ἡμῶν σκηνώματος, ὃ τῇ C ἑβδόμῃ χιλιονταετηρίδι πάλιν ἀθάνατον ἀπειληφότες, ἑορτάσομεν τὴν μεγάλην ἑορτὴν τῆς ἀληθινῆς σκηνοπηγίας ἐν τῇ καινῇ καὶ ἀλύπῳ κτίσει, συντελεσθέντων τῶν τῆς γῆς καρπῶν, καὶ τῶν ἀνθρώπων μηκέτι γεννώντων καὶ γεννωμένων· ἀλλὰ καταπαύσαντος ἀπὸ D τῶν ἔργων τῆς κοσμοποιΐας τοῦ Θεοῦ. ἐπειδὴ γὰρ ἐν ἓξ ἡμέραις ὁ Θεὸς κατεσκεύασε τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ συνετέλεσε πάντα τὸν κόσμον, καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ τῶν ἔργων αὐτοῦ ὧν ἐποίησε, καὶ εὐλόγησε τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν· ἐντεῦθεν συμβολικῶς τῷ μηνὶ τῷ ἑβδόμῳ, ὁπόταν ἤδη συντελεσθῶσιν οἱ καρποὶ τῆς γῆς, ἑορτάζειν προστασσόμεθα τῷ κυρίῳ· ὃ δή ἐστιν,

A *minus Deus veſter*. Iudæi omnes exiſtimabunt, circa nudam ſcripturæ volitantes literam, ſicut qui vocantur fuci circumuolitant olerum folia, non vt apis flores ac fructus, hæc verba, háſque præſcriptiones de tabernaculo locutas tale, quale ipſi architectantur. quaſi Deus B delectetur exilibus iſtis ornamẽtis frondium ramorúmque, qualia iſti concinnant, non intelligentes diuitias futurorum bonorum: & iſta nihil eſſe niſi auram vmbráſque ſpecioſas prænunciantes reſurrectionem, & erectionem ſtabilem lapſi priùs in terram noſtri tabernaculi: quod ſeptimo demum millenario annorum rurſus immor- C tale reſumentes, celebramus magnam ſolemnitatem veræ ſcenopegiæ in nouo, & doloris experte mundo, conſummatis collectíſque terræ fructibus, nemine hominum ampliùs aut gignente aut genito, ſed ab opere vniuerſo creationis mundi Deo iam plenè feriante. D Quoniam enim ſex diebus perfecit Deus cælum & terram, & conſummauit totum mundum, & quieuit die ſeptimo ab operibus ſuis quæ fecit, & benedixit diei ſeptimæ, & ſanctificauit eam: inde ſymbolicè menſe ſeptimo, quando iam conſummati collectíque ſunt fructus terræ, ferias agere iubemur Domino. Quòd ſi ex figu-

ra in rem interpretemur, deſignat, quando mundus hic conſummatus fuerit ſeptimo millenario annorum, quando verè Deus conſummato mundi opere lætabitur ſuper nos. Nunc autem cùm maximè adhuc omnia creantur, perſeuerante voluntatis illâ creatricis efficaciâ primâ, & per eius inexcogitabilem vim producente hucuſque terrâ fructus, & aquis in ſua ſe conceptacula, & paratos alueos recipientibus: lucis quoque diuiſione à tenebris hactenus durante: numeróque ſtatuto hominum nondum expleto, ſed aliis aliiſque quotidie ad ſummam definitam abſoluendam ſubnaſcentibus: ſole quoque diei principium, & lunâ nocti, ortu ſuo dantibus: è terra quoque prodeuntibus quadrupedibus, beſtiis, reptilibus; volucribus autem & natatilibus ex humida ſubſtantia. Tunc verò cùm conſummata fuerint ſtatuta tempora, & ceſſauerit Deus à continua actione illa, quâ ſemper hucuſque, vt diximus, hunc mundum creat, ſeptimo menſe magnâ reſurrectionis die, feſtum celebratur Domino ſcenopegiæ noſtræ, cuius, quæ in Leuitico dicuntur, ſymbola & figuræ ſunt: quæ cùm inueſtigauerimus, veritatem intelligemus nudam. Prou. 1. 5. *Hæc enim*, inquit,

A ὁπόταν ὁ κόσμος οὗτος συντελεσθῇ τῇ ἑβδόμῃ χιλιονταετηρίδι, ὅτε ὡς ἀληθῶς ὁ Θεὸς συντελέσας τὴν οἰκουμένην, ἐφ' ἡμῖν εὐφρανθήσεται. νῦν γὰρ ἀκμὴν ἔτι τὰ πάντα δημιουργεῖται τῇ διαρκεῖ βουλήσει αὐτοῦ, καὶ ἀνεννοήτῳ δυνάμει, ἀναδιδούσης ἔτι τῆς γῆς τοὺς καρπούς, καὶ τῶν ὑδάτων συνα-
B γομένων εἰς τὰς συναγωγάς, καὶ τοῦ φωτὸς ἔτι διαχωριζομένου, καὶ τοῦ ἀριθμοῦ τῶν ἀνθρώπων ἔτι δημιουργουμένου, καὶ τοῦ ἡλίου εἰς ἀρχὰς ἀνατέλλοντος τῆς ἡμέρας, καὶ τῆς σελήνης εἰς ἀρχὰς ἔτι τῆς νυκτός, καὶ τῶν τετραπόδων, καὶ θηρίων, καὶ ἑρπετῶν ἐκ τῆς γῆς ἀναδιδο-
C μένων, καὶ πτηνῶν, καὶ νηκτῶν ἐκ τῆς ὑγρᾶς οὐσίας. τότε δὲ ὁπόταν συντελεσθῶσιν οἱ καιροί, καὶ παύσεται ὁ Θεὸς ἐργαζόμενος ταύτην τὴν κτίσιν, τῷ ἑβδόμῳ μηνί, τῇ μεγάλῃ τῆς ἀναστάσεως ἡμέρᾳ, ἑορτὴ συγκροτεῖται τῷ κυρίῳ τῆς σκηνοπηγίας ἡμῶν, ἧς εἰσιν ἐν τῷ Λευιτικῷ τὰ λεγόμενα
D σύμβολα, καὶ τύποι· ἃ διεξιχνιάζοντας, χρὴ νοεῖν τὴν ἀλήθειαν γυμνήν. τῶνδε γὰρ ἀκούσας, φησί, σοφὸς, σοφώτερος ἔσται, νοήσει τε παραβολὴν καὶ σκοτεινὸν λόγον, ῥήσεις τε σοφῶν, καὶ αἰνίγματα· ὥστε αἰσχυνέσθωσαν οἱ Ἰου-

audiens ſapiens ſapientior erit, intelligétque parabolam & obſcurum ſermonem, dicta ſapientum & ænigmata. Quare pudeat Iu-

δαῖοι, τὰ βάθη τῶν γραφῶν μὴ συνηθημένοι, καὶ πάντα σωματικὰ τὸν νόμον ἡγούμενοι καὶ τοὺς προφήτας εἰρηκέναι· ἅτε τῶν κοσμικῶν ἐφιέμενοι, καὶ τὸν ἔξωθεν πλοῦτον τοῦ περὶ ψυχὴν προκρίνοντες. διαιρουμένων γὰρ τῶν γραφῶν εἰς τὸν περὶ τῶν παρῳχηκότων καὶ μελλόντων τύπον, ἀποπηδήσαντες οἱ σχέτλιοι, τῶν μελλόντων ὡς παρῳχηκότων ἤδη τελοῦσι τοὺς τύπους· καθάπερ καὶ ἐπὶ τῆς τοῦ προβάτου σφαγῆς, ἀνάμνησιν τῆς κατ' αἴγυπτον τῶν πατέρων αὐτῶν γεγενημένης σωτηρίας ἡγούμενοι μόνην εἶναι τὸ μυστήριον τοῦ προβάτου· ὁπότε πατασσομένων τῶν πρωτοτόκων τῆς αἰγύπτου, αὐτοὶ διεσώθησαν τὰς φλιὰς τῶν σφετέρων οἴκων φοινίξαντες τῷ αἵματι· οὐκ ἔτι δὲ καὶ τῆς σφαγῆς τύπον ἡγήσαντο τοῦτον προδηλωτικὸν γεγονέναι Χριστοῦ, οὗ αἱ κατησφαλισμέναι τῷ αἵματι καὶ σφραγισθεῖσαι ψυχαί, τῆς οἰκουμένης ἐκπυρουμένης, καὶ τῶν πρωτοτόκων ὀλοθρευομένων τέκνων, τοῦ σατανᾶ περισωθήσονται τῆς ὀργῆς, τῶν τιμωρητῶν ἀγγέλων ἐντραπησομένων τὴν ἀπὸ τοῦ αἵματος ἐπ' αὐταῖς ἐντετυπωμένην σφραγῖδα. καὶ ταῦτα μὲν οὖν ὡς ἐπὶ παραδείγματος εἰρήσθω δεικνυούσης, ὅτι τὰ παρόντα τύπους ἡγούμενοι τῶν ἤδη γεγονότων οἱ Ἰουδαῖοι, τῆς ἐλπίδος μελλόντων ἐξώκειλαν ἀγαθῶν, μηδὲ τοὺς τύπους τῶν εἰκόνων βουληθέντες εἶναι προκαταγγελτικούς, μηδὲ τὰς εἰκόνας τῆς ἀληθείας.

A dæos, quòd profundos ſcripturarum ſenſus non penetrant, exiſtimantes legem & prophetas nihil niſi corporalia loqui: vt pote ipſi rerum tantum mundanarum cupiditate capti, & exteriores diuitias interiori theſauro præferentes. Nam cùm ſcripturæ diuinæ aliæ præteritorum figuram exhibeant, aliæ futurorum, infelices iſti figu-
B ras futurorum pro figuris præteritorum habent. Puta in immolatione agni, cuius myſterium in ſola recordatione liberationis patrum ſuorum ex Ægypto conſtituunt: tunc factâ quando percuſſis primogenitis Ægypti, ſeruati ſunt ipſi, ſuperliminaribus domorũm ſuarum ſanguine rubricatis. Ne-
C que intelligunt, eo etiam præſignari necem Christi, cuius ſanguine conſignatæ animæ, dum conſumetur vltimo incẽdio genus humanum, & primogeniti huius ſæculi filij ſupremo exitio perdentur, ſeruabuntur ab ira ſatanæ, vltoribus angelis reuerituris diuini ſanguinis impreſſum ipſis ſigillum. Et hæc exẽpli causâ memorata ſunto ad demõ-
D ſtrandum Iudæos, idcirco quòd res quas tractant figuras ſolùm eſſe putant rerum iam factarum, ſpe futurorum bonorum excidiſſe; nec figuras imaginum, nec imagines ipſas agnoſcere volentes, vt prænunciatrices euenturæ veritatis.

Nam lex quidem imaginis eſt A figura & vmbra, hoc eſt Euangelij: ipſum verò Euangelium, imago veritatis. Etenim antiquiores, & lex, futura prophetantes, prænunciauerunt nobis Eccleſiæ characteres: Eccleſia verò ipſa characteres nouorum ſæculorum. Vnde nos Chriſto aſſentientes dicenti: *Ego ſum veritas*, vmbras quidem & figuras ſcimus deſiiſſe: ad veritatem autem feſtinamus, illuſtres ipſius imagines prænunciantes. Ex parte enim adhuc, & velut per ſpeculum cognoſcimus, quoniam nondum ad nos venit quod perfectum eſt, regnum nempe cælorum & reſurrectio, quando deſtruetur quod ex parte eſt. Tunc enim tabernacula figuntur omnium C noſtrum, quando iterum agglutinatis, & compactis cum carne oſſibus, reſurgit corpus. Tunc diem gaudij feſtam celebramus Domino ſincerè, quando tabernacula æterna receperimus, non amplius moritura aut diſſoluenda in puluerem tumuli. Erat enim noſtrum prius immobili fixum ſtatu tabernaculum: ſed per tranſgreſ- D ſionem motum, & in terram inclinatum eſt: Deo peccatum eluente per mortem, ne immortaliter peccator perſeuerans homo, æternùm in maledictione perduraret. Propterea mortuus eſt, cùm natus non

A ὁ μὲν γὰρ νόμος τῆς εἰκόνος ἐστὶ τύπος καὶ σκιά, τουτέστι τοῦ εὐαγγελίου· ἡ δὲ εἰκὼν τὸ εὐαγγέλιον αὐτῆς τῆς ἀληθείας. οἱ γὰρ παλαιότεροι, καὶ ὁ νόμος, τοὺς τῆς ἐκκλησίας προεξήγγειλλαν ἡμῖν προφητεύοντες χαρακτῆρας· ἡ δὲ ἐκκλησία τοὺς τῶν καινῶν αἰώνων. ὅθεν ἡμεῖς οἱ τὸν εἰπόντα Χρι- B στὸν, ἐγώ εἰμι ἡ ἀλήθεια, δεξάμενοι, τὰς μὲν σκιὰς καὶ τοὺς τύπους ἴσμεν πεπαυμένους· ἐπὶ δὲ τὴν ἀλήθειαν σπεύδομεν, τὰς ἐναργεῖς αὐτῆς εἰκόνας προκαταγγέλλοντες· ἐκ μέρους γὰρ ἔτι καὶ ὡς δι' ἐσόπτρου γινώσκομεν, ἐπεὶ μηδέπω τὸ τέλειον ἥκεν, ἡ βασιλεία τῶν οὐρανῶν καὶ ἡ ἀ- C νάστασις εἰς ἡμᾶς, ὅτε καταργηθήσεται τὸ ἐκ μέρους. τότε γὰρ αἱ σκηναὶ πήγνυνται πάντων ἡμῶν, ὁπότε τῶν ὀστῶν συγκολλωμένων καὶ συμπηγνυμένων ταῖς σαρξὶν, ἀνίσταται σῶμα. τότε τὴν ἡμέραν τῆς χαρᾶς ἑορτάζομεν κυρίῳ εἰλικρινῶς, ὁπότε τὰς σκηνὰς αἰωνίους ἀποληψώμεθα, D οὐκέτι θνηξομένας ἢ λυθησομένας εἰς γῆν χώματος· ἦν γὰρ ἡμῶν καὶ πρόσθεν ἄπτωτος ἡ σκηνή· ἀλλὰ διὰ τὴν παράβασιν ἐσαλεύθη καὶ ἐκλίθη, τοῦ Θεοῦ τὸ ἁμάρτημα λύσαντος θανάτῳ, ἵνα μὴ ἀθανάτως ἁμαρτωλὸς ὁ ἄνθρωπος ὤν, ζώσης ἐν αὐτῷ τῆς ἁμαρτίας, αἰωνίως κατάκριτος γένηται· καὶ διὰ τοῦτο καὶ τέθνηκεν οὐ γενόμενος θνητὸς ἢ φθαρ-

ἢ φθαρτός, καὶ διεκρίθη τῆς σαρ- A κὸς ἡ ψυχή, ἵνα νεκρωθῇ διὰ τοῦ θανάτου τὸ παράπτωμα, μηκέτι δυνάμενον ζῆν ἐν τῷ τεθνηκότι. ὅθεν ἀποθανόντος τοῦ παραπτώματος καὶ διεφθαρμένου, πάλιν ἀθάνατος ἀνίσταμαι, καὶ ὑμνῶ τὸν Θεόν, τὸν διὰ θανάτου τὰ τέκνα ἐκ θανάτου σώζοντα· B καὶ ἑορτάζω νομίμως αὐτῷ, κοσμήσασα τὴν σκηνήν μου τὴν σάρκα τοῖς ἔργοις τοῖς καλοῖς, ὥσπερ κἀκεῖ ταῖς παντοφώτοις αἱ παρθένοι λαμπάσιν· ἐξεταζομένη τῇ πρώτῃ τῆς ἀναστάσεως ἡμέρᾳ, εἰ φέρω τὰ προστεταγμένα, εἰ κεκόσμημαι τοῖς τῆς ἀρετῆς καρποῖς, εἰ τοῖς κλάδοις τῆς ἁγνείας κατασκιάζομαι. C νόει γάρ μοι τὴν ἀνάστασιν εἶναι τὴν σκηνοπηγίαν· νόει μοι καὶ τὰ εἰς τὴν σύνθεσιν παραλαμβανόμενα τῆς σκηνῆς, τὰς πράξεις εἶναι τῆς δικαιοσύνης. λαμβάνω οὖν τῇ ἡμέρᾳ τῇ πρώτῃ τὰ ὑποτεταγμένα, οἱονεὶ τῇ ἡμέρᾳ ᾗ κρίνομαι, εἰ τὴν σκηνὴν ἐκόσμησά μου τοῖς προ- D στεταγμένοις, εἰ εὑρίσκονται ταῦτα ἐν αὐτῇ, ἅπερ ἐνταῦθα μὲν ἐν τῷ κόσμῳ κτήσασθαι προστασσόμεθα· ἐκεῖ δὲ προσφέρειν τῷ Θεῷ. ἴτε γὰρ καὶ τὰ ἑξῆς ἐπισκεψώμεθα· καὶ λήψεσθε ἑαυτοῖς τῇ πρώτῃ, φησίν, ἡμέρᾳ καρπὸν ξύλου ὡραῖον, καὶ κλάδους ξύλου δασεῖς, καὶ ἄγνου κλάδους ἐκ χειμάῤῥου, εὐφρανθῆναι ἐναντίον κυρίου τοῦ Θεοῦ ὑμῶν.

A eſſet mortalis aut corruptibilis, & ſecreta eſt à carne anima, vt interiret per mortem peccatum, non amplius viuere valens in ſubiecto mortuo. Vnde mortuo peccato & corrupto, rurſus immortalis reſurgo, & laudo Deum, qui per mortem filios ſuos à morte ſeruauerit: & legitimè feſtum cele- B bro in eius honorem, ornans tabernaculum meum carnem meam operibus bonis, vt & illic Virgines plenè lucentibus lampadibus: examinata in prima reſurrectionis die, an feram ea quæ imperata ſunt: an exornata ſim virtutis fructibus: an ramis caſtitatis obumbrer. Reputa enim reſurrectionem, tabernaculi erectionem eſſe. C Reputa quæ in compoſitionem aſſumuntur tabernaculi, operationes eſſe iuſtitiæ. Sumo igitur die primâ quæ præſcripta ſunt: vt pote die quâ iudicor, an tabernaculum ornauerim meum iis quæ ſunt ad id præſcripta: an reperiantur ea in ipſo quæ hîc in mundo acquiſiuiſſe iubemur, ibi autem of- D ferre Deo. Agite enim, ſcripturam hanc conſiderare pergamus. *Sumite* inquit, *vobis primâ die fructum ligni ſpecioſum & ramos ligni denſos, & ſalicis ramos de torrente ad lætandum coram Domino Deo veſtro.*

Fructum ligni pulcherrimũ corde incircumciſi Iudæi propter magnitudinem citrum putant eſſe : neque ipſos pudet dicere citro Deum honorari : cui ne omnia quidem quadrupedia terræ in holocauſtum ipſo dignum ſuffecerint, cuius mons totus Libanus altare, & cunctæ illius ſyluæ pyræ forent. Quòd ſi, ô capita indomitæ peruicaciæ, omnino vobis videtur citrus arbor pulcra : cur non potius pulcra iudicetur vitis, pulcra malus punica, pulcra malus, aliæque pomiferæ plantæ ſpecioſiores haud paulo, melioréſque citro ? Itaque in Cantico Canticorum, omnes Salomon pulcras arbores enumerans, citrum ſilentio ſolam præteriit. Sed hoc imprudentes decepit, quòd non intellexerint lignum vitæ, quod prius paradiſus ferebat, nunc omnibus regerminauit Eccleſia, pulcrum & decorum faciens fidei fructum, lignum illic vocari arboris pulcherrimæ. Talem fructum ad tribunal accedentes Chriſti, primâ reſurrectionis die, afferre nos oportet : quem ſi non habuerimus, non poterimus feriari cum Deo, nec partem habebimus, ſecundùm Ioannem, in reſurrectione primâ. *Lignum enim vitæ eſt iis qui apprehenderint eam*, ait Propheta, *& eis qui innituntur ſuper ipſam quaſi ſuper Dominum, ſecura.*

καρπὸν ὡραιότατον ξύλου οἱ τὴν καρδίαν ἀπερίτμητοι Ἰουδαῖοι διὰ τὸ μέγεθος τὸ κίτρειον ἡγοῦνται τυγχάνειν, οὐδὲ ἐγκαλύπτονται κιτρείῳ τὸν Θεὸν λέγοντες τιμᾶσθαι, ᾧ τὰ τετράποδα πάντα τῆς γῆς οὐκ εἰσὶν εἰς ὁλοκαύτωσιν ἱκανά, καὶ ὁ Λίβανος εἰς καῦσιν· καὶ ὅλως εἰ τὸ κίτρειον, ὦ ἀπεράμονες, ὡραῖον· διὰ τί μὴ καὶ ἡ σταφυλὴ μᾶλλον ὡραία; διὰ τί μὴ καὶ ἡ ῥοιά; διὰ τί μὴ καὶ τὸ μῆλον, καὶ τὰ ἄλλα ἀκρόδρυα, τὰ μᾶλλον διαφέροντα τοῦ κιτρείου; ἀμέλει ἐν τῷ ᾄσματι τῶν ᾀσμάτων, πάντων ὁ Σολομὼν τούτων ὡραίων μνημονεύσας, τὸ κίτρειον ἀπεσιώπησε μόνον. ἀλλὰ τούτων ἀπεβουκολήθησαν οἱ ἄφρονες, μὴ νοήσαντες τὸ ξύλον τῆς ζωῆς, ὃ πρόσθεν μὲν ὁ παράδεισος ἔφερε, νῦν δὲ πᾶσιν ἀνεβλάστησεν ἡ ἐκκλησία, τὸν ὡραῖον καὶ εὐπρεπῆ τῆς πίστεως ποιοῦν καρπόν. τοιοῦτον ἐληλυθότας καρπὸν τῇ πρώτῃ τῆς ἑορτῆς ἡμέρᾳ εἰς τὸ δικαστήριον ἡμᾶς κομίζειν δεῖ Χριστοῦ· ἐὰν μὴ τοιοῦτον καὶ ἡμεῖς ἔχωμεν καρπόν, οὐ δυνησόμεθα συνεορτάσαι τῷ Θεῷ, οὐ τευξόμεθα κατὰ τὸν Ἰωάννην τῆς πρώτης ἀναστάσεως. τὸ γὰρ ξύλον ζωῆς τοῖς ἀντεχομένοις αὐτῆς, φησὶν ὁ προφήτης, καὶ τοῖς ἐπερειδομένοις ἐπ' αὐτὴν ὡς ἐπὶ κύριον, ἀσφαλής.

ξύλον παρὰ τὰς διεξόδους πεφυ- A τευμένον τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, διδασκαλία, καὶ ἀγάπη, καὶ σύνεσίς ἐστιν, ἐν καιρῷ προσήκοντι τοῖς τῆς ἐπὶ τὰ ὕδατα ἀπολυτρώσεως ἀφικνουμένοις διδομένη. ὁ μὴ πιστεύσας Χριστῷ, μηδὲ τὴν ἀρχὴν αὐτὸν εἶναι καὶ τὸ ξύλον τῆς ζωῆς ἡ- B σθημένος, οὐκ ἔχων δεῖξαι τῷ Θεῷ, τῷ ὡραιοτέρῳ τῶν ὡραίων καρπῶν τὴν σκηνὴν αὐτοῦ κεκοσμημένην, πῶς ἑορτάσει; πῶς εὐφρανθήσεται; θέλεις γνῶναι τὸν ὡραῖον καρπὸν τοῦ ξύλου; ἐπίσκεψον τοὺς λόγους τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πῶς εἰσὶν ὡραῖοι κάλλει παρὰ τοὺς C υἱοὺς τῶν ἀνθρώπων· ὡραῖος καρπὸς ἐβλάστησε διὰ Μωσέως ὁ νόμος, ἀλλ' οὐχ οὕτως ἦν ὡραῖος, ὡς τὸ εὐαγγέλιον. ἐκεῖνος μὲν γὰρ τύπος τις ἦν καὶ σκιὰ τῶν μελλόντων πραγμάτων· τοῦτο δὲ ἀλήθεια, καὶ ζωῆς χάρις. ὡραῖος ἦν τῶν προφητῶν ὁ καρ- D πός· ἀλλ' οὐχ οὕτως ὡραῖος, ὡς ὁ ἐξ αὐτοῦ γεωργούμενος τῆς ἀφθαρσίας. καὶ λήψεσθε ἑαυτοῖς τῇ πρώτῃ ἡμέρᾳ καρπὸν ξύλου ὡραῖον, καὶ κάλλυνθρα φοινίκων. λέγων τὴν ἄσκησιν τῶν θείων μαθημάτων, οἷς ἐκκαθαίρεται καὶ κοσμεῖται ψυχὴ νικῶσα τὰ πάθη, ἀποσαρκουμένων ἐξ αὐτῆς καὶ ἐκβαλλομένων τῶν ἁμαρτημάτων. δεῖ γὰρ καθαροὺς καὶ κεκοσμημένους ἥκειν εἰς τὴν ἑορτὴν,

Lignum eſt *plantatum ſecus decurſus aquarum, quod fructum ſuum dabit in tempore ſuo.* Pſ. 1. Nempe doctrina, & caritas, & prudentia in ipſo ſunt, & hæc omnia cum ipſo dantur in tempore opportuno, ad aquas redemptionis accedentibus. Qui non credidit Chriſto, neque ipſum eſſe principium, & lignum vitæ ſenſit, non habens oſtendere Deo tabernaculum ſuum ornatum ſpecioſiſſimo pulcrorum fructuum, quomodo feriabitur? quomodo lætabitur? Vis noſſe pulcrum fructum ligni? conſidera ſermones Domini noſtri Ieſu Chriſti, vt ſunt ſpecioſi forma præ filiis hominum. Pulcher fructus germinauit per Moyſen lex: ſed non tam pulcher erat, quàm eſt Euangelium. Lex enim figura quædam erat, & vmbra futurarum rerum: euangelium verò veritas eſt, & vitæ gratia. Pulcher erat fructus prophetarum: ſed non ita pulcher, vt qui ex ipſo exaratus eſt, incorruptionis. *Et ſumetis vobis primâ die fructum ligni ſpecioſum, ſpatuláſque palmarum:* Leu. 23. 40. eo ſignificans exercitationem diuinarum diſciplinarum, quibus purgatur & ornatur anima vincens vitia, euulſis eiectíſque ex ipſa peccatis. Oportet enim puros & ornatos venire ad feſtum, tam-

quam mangonio quodam, religioſis operibus, & exercitiis virtutis luculenter expolitos. Nam laborioſis id genus exercitationibus dum purgatur mens ab illi nebulas offundentibus alienis cogitationibus, acutè cernit veritatem. Quemadmodum vidua in Euangelio, quadrantem inuenit poſtquam euerrit domum, & ſordes eiecit, nimirum vitia obſcurantia, & obturantia oculum animæ, quæ per noſtram mollitiem, & incuriam multiplicantur. Qui ergo cupit in feſtum tabernaculorum illorum occurrere, & ſanctorum in cenſum referri, primùm fidem ſibi comparet ſignificatam nomine ac ſymbolo pulcri fructûs, deinde ſpatulas, videlicet meditationem attentam, exercitationémque ſcripturarum: poſtea frondentes ac denſos charitatis ramos, quos poſt ſpatulas iubet ſumi, ramos denſos aptiſſimè caritatem vocans. Quod enim densè viret, ferè idem copioſè fructuoſum totúmque frugiferum eſt, nihil exile exſuccúmve habens, ſed omnia plena, & ſurculos & truncos. Talis es caritas. nulla parte vacua, 1.Cor.13.3. vel infructuoſa. Verè enim *ſi vendidero omnes facultates meas, & diſtribuero in cibos pauperum: & ſi corpus meum igni tradidero, & ſi tantam fidem habeam, vt montes transferam, caritatem verò non habeam, nihil ſum*. Igi-

A ὥσπερ κοσμήτρῳ ταῖς ἀσκήσεσι, καὶ μελέταις τῆς ἀρετῆς πεφιλοπονημένοις. ὅτι μελέταις ἐπιπόνοις καὶ ἀσκήσεσι καθαιρόμενος ὁ νοῦς τῶν ἐπικαλυπτόντων αὐτὸν ἀλλοίων διανοημάτων, ὀξυδερκεῖ πρὸς τὴν ἀλήθειαν. καθάπερ καὶ ἡ χήρα τὸν κοδράντην ἐν τοῖς εὐαγγελίοις ἀνεύρατο, μετὰ τὸ σαρῶσαι τὸν οἶ-
B κον, καὶ ῥίψαι τὰ κόπρια, τὰ ἐπισκοτοῦντα καὶ καλύπτοντα πάθη τὴν ψυχὴν, τὰ ἀπὸ τῆς θρύψεως ἡμῶν καὶ τῆς ἀμελείας πληθύνοντα. καὶ τοίνυν ὁ σπουδάζων εἰς τὴν ἑορτὴν τῶν σκηνῶν ἐκείνων φθάσαι, καὶ τοῖς ἁγίοις συγκαταλεχθῆναι, πρῶτον τὸν ὡραίου τὴν πίστιν κτησάσθω καρπόν· εἶτα τὰ κάλ-
C λυνθρα, τὴν ἄσκησιν καὶ μελέτην τῶν γραφῶν· εἶτα τοὺς ἐριθηλέας ἐφεξῆς κλάδους τῆς ἀγάπης καὶ δασεῖς· οὓς καὶ μετὰ τὰ κάλλυνθρα παρεγγυᾷ λαμβάνεσθαι, κλάδους δασεῖς εὐθυβολώτατα τὴν ἀγάπην φράσας. τὸ γὰρ δασὺ, κατάκαρπον ὅλον ἐστὶ καὶ πυκνὸν, μηδὲν ψιλὸν ἢ διάκενον ἔχον, ἀλ-
D λὰ πάντα πεπληρωμένον, καὶ τοὺς ὄρπηκας καὶ τὰ στελέχη. τοιοῦτον γάρ ἐστιν ἡ ἀγάπη, μηδαμόθεν ὑπόκενος ἢ ἄκαρπος οὖσα. ἢ γὰρ, ἐὰν πωλήσω τὰ ὑπάρχοντά μου καὶ δώσω πτωχοῖς, καὶ ἐὰν τὸ σῶμά μου πυρὶ παραδώσω, καὶ ἐπὶ τοσαύτην πίστιν, ὥστε ὄρη μεθιστᾶν, κτήσωμαι· ἀγάπην δὲ μὴ ἔχω· οὐδέν εἰμι. ἡ

ἀγάπη ἄρα τὸ κατάκαρπον ἐστὶ καὶ δασύτατον ξύλον πάντων, ἡ γέμουσα καὶ πεπληρωμένη τῶν χαρισμάτων. εἶτα τί παραλαμβάνεσθαι βούλεται καὶ ἕτερον; κλάδοις ἰτείνοις, φησὶ, τὴν δικαιοσύνην κλάδοις ἰτείνοις κικλήσκων, ἀνθ' ὧν οἱ δίκαιοι κατὰ τὸν προφήτην ὡς ἀναμέσον ὕδατος ἀνατέλλουσι χόρτος, καὶ ὡς ἰτέα ἐπὶ παραρρέον ὕδωρ θάλλοντες τῷ λόγῳ· καὶ ἐπὶ πᾶσι τοὺς ἀγνίνους ἐπικοσμοῦντας τὴν σκηνὴν παρακελεύεται προσφέρεσθαι κλάδους, διὰ τὸ φερώνυμον εἶναι τὸ δένδρον τῆς ἁγνείας, ᾧ κατακοσμεῖται τὰ προειρημένα· ἐρρέτωσαν οἱ ἀκολασταίνοντες νῦν, καὶ διὰ τὰς ἑαυτῶν ἡδυπαθείας ἁγνείαν ἀποδιωθούμενοι· πῶς γὰρ εἰς τὴν ἑορτὴν συνεισελεύσονται Χριστῷ, μὴ κοσμήσαντες ἑαυτῶν τὴν σκηνὴν κλάδοις ἁγνείας, τῷ θεοποιῷ καὶ μακαρίῳ φυτῷ· ᾧ τοὺς εἰς τὴν ἄγειν σπεύδοντας ἐκείνην καὶ τὸν γάμον, ἀναδήσασθαι δεῖ, καὶ κατασκιάζεσθαι τὰς ὀσφύας. ἴτε γὰρ καλλιπάρθενοι τὴν γραφὴν αὐτὴν ἐπισκέψασθαι καὶ τὰς ἐντολάς· πῶς, ὡς ἐπὶ συμπληρώματος τῶν προειρημένων κατορθωμάτων παρέλαβεν ὁ λόγος τὴν ἁγνείαν, διδάσκων ὅσον διαπρεπὴς καὶ περιπόθητος ἔσται τῇ ἀναστάσει, καὶ ὅτι χωρὶς αὐτῆς οὐδεὶς τεύξεται τῶν ἐπαγγελμάτων, ἣν ἐξαιρέτως γεωργοῦμεν ἡμεῖς αἱ παρθενεύουσαι, καὶ προσφέρομεν κυ-

A tur caritas denſiſſima fructuoſiſſimáque omnium arbor eſt, referta & redundãs gratiis. Deinde quid ſumi vult aliud? ramos ſalicum, ait, iſto ſymbolo iuſtitiam indicans. Quocirca iuſti apud Prophetam ſicut gramẽ in ſolo irriguo germinant, vt ſalix ſuper præterfluentem aquam florentes verbo. Supra omnes B verò ramos exornantes tabernaculum, frondes iubet offerre ſalicum, quoniam græcum huius arboris nomen cum vocabulo caſtitatis congruit. Caſtitate autem additur quaſi cumulus pulcritudinis, modo enumeratis ornamentis. Eant iam laſciui per ſuas voluptates reiiciẽtes caſtitatem. Quomodo enim in feſtum cum Chriſto conuenient, C qui non otnauerint ſuum tabetnaculum ramis deificæ beatæque arboris caſtitatis, quâ omnes feſtinantes ad illam celebritatem, ac nuptiale conuiuium ſuccingi oportet, & obumbrare lumbos ſuos. Agite enim pulcræ Virgines, ſcripturam ipſam & mandata conſiderate. videbitis ad complementum prædictorum officio- D rum atque operum, aſſumi à Verbo caſtitatem: quo facto docet quantùm ea deceat reſurrectionem, quámque ad illam expetibilis ſit; & ſine ipſa neminem fieri compotem poſſe promiſſionum: quam eximiè colimus nos Virginitatem profitentes, & offetimus Do-

A mino. Vtuntur quoque illâ qui cum ſuis vxoribus caſtè viuunt, & velut circa truncum humiles eius carpunt ſurculos coniugalis continentiæ, ad ſuperiores excelsóſque ramos illius, ne contingendos quidem, nedum legendos ac decerpendos, quod nos facimus, conantes aut valentes aſſurgere. Tametſi minutas offerunt nihilominus, & ipſi caſtitatis frondes.
B At libidinoſi effuſo impetu indulgentes laſciuiæ, etiamſi non fornicentur, ſed licitis quidem legitimæ vxoris, ſed indomitæ concupiſcentiæ furore effræni, complexibus fruantur: quomodo feriabuntur? quomodo lætabuntur? qui tabernaculum ſuum carnem ſuam, ramis ſalicis, hoc eſt cultu caſtitatis
C non ornauerint: neque audierint monentem, *vt qui habent vxores, tamquam non habentes ſint.* Propterea ab omnibus præſertim iis, qui ſplendida certamina contendunt, quíque ingenti ſunt animo præditi, aio debere caſtitatem, ne quid exaggeratiùs dicam, ſaltem
D honorari tamquam vtiliſſimam & glorioſam. In nouo enim & doloris experte mundo, qui caſtitatis non repertus fuerit ramis ornatus, non conſequetur requiem, vt pote qui non impleuerit mandatum Dei iuxta legem. Neque ad terram perueniet promiſſionis, quippe qui priùs non celebrauerit feſtum tabernaculorum. Illi ſiquidem ſoli, qui ſcenopegiam celebrauerint, in ſanctam appellunt terram, versùs eam ſol-

Ad Cor. 7. 29.

A εἰῶ. χρῶνται δὲ οἱ πρὸς τὰς ἑαυτῶν ἁγνεύοντες γαμετὰς, καὶ ὥσπερ ἀμφὶ τὸ στέλεχος κλῶνας αὐτῆς φέρουσι βλαστήσαντας σωφροσύνην, τὴν ἄνω μὴ ἐφικνούμενοι, καὶ μεγάλων αὐτῆς ἐπιψαῦσαι κλάδων καθάπερ ἡμεῖς. ὅμως εἰ καὶ μικροὺς, οὐδὲν ἧσσον προσφέρουσιν δὴ καὶ αὐτοὶ κλῶνας ἁγνείας.
B οἱ δὲ οἰστρηλατούμενοι, κἂν μὴ πορνεύσωσιν, ἀλλὰ καὶ εἰς μόνην τὴν ἔννομον ἀδιαστόλως ἐπιμίγνυσθαι θέλγωνται γαμετήν· πῶς ἑορτάσουσι; πῶς εὐφρανθήσονται, μὴ κοσμήσαντες τὴν σκηνὴν ἑαυτῶν τὴν σάρκα τοῖς κλάδοις τῆς ἄγνου· μηδὲ εἰσακούσαντες τοῦ εἰρημένου· ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς οἱ μὴ ἔ-
C χοντες ὦσι; διὰ τοῦτο πάντων μάλιστα τοῖς τῶν ἀγώνων ἐφιεμένοις, καὶ μεγάλῃ φρονήσει χρωμένοις, τὴν ἁγνείαν ἀμελητὶ φημὶ δεῖν καὶ τιμᾶν ὡς ὠφελιμωτάτην καὶ ἐπίδοξον. ἐν γὰρ τῇ καινῇ καὶ ἀλύπῳ κτίσει, ὃς ἂν ἁγνείας μὴ εὑρεθῇ κλάδοις κεκοσμημένος, οὐ τεύ-
D ξεται τῆς ἀναπαύσεως, μὴ πληρώσας τὴν ἐντολὴν τοῦ Θεοῦ κατὰ τὸν νόμον· οὐδὲ εἰς τὴν γῆν ἐπιδημήσει τῆς ἐπαγγελείας, μὴ ἑορτάσας πρῶτον τὰς σκηνάς· οἱ γὰρ ἑορτάσαντες μόνοι τὴν σκηνοπηγίαν, εἰς τὴν ἁγίαν καταίρουσι γῆν, ἀπάραντες ἀπὸ

A τῶν καλουμένων σκηνῶν, ἕως τὸ αὖ εἰς τὸν νεὼν φθάσωσιν ἐλθεῖν καὶ τὴν πόλιν τοῦ Θεοῦ, εἰς τὴν μείζονα καὶ ἐνδοξοτέραν προκόψαντες χαράν, καθὼς καὶ οἱ τύποι συνιστᾶσιν οἱ γεγονότες ἐπὶ Ἰουδαίων. ὥσπερ γὰρ ἐξελθόντες τὸν ὅρον ἐκείνων τῆς Αἰγύπτου, ὥδευσαν πρῶτον καὶ ἦλθον εἰς τὰς σκηνάς· κἀκεῖθεν ἀπάραντες πάλιν, ἦλθον εἰς τὴν γῆν τῆς ἐπαγγελίας· B οὕτω δὴ καὶ ἡμεῖς. ὁδεύσασα γὰρ ἐντεῦθεν καὶ ἐξελθοῦσα κἀγὼ τῆς Αἰγύπτου, τούτου τοῦ βίου, ἔρχομαι πρῶτον εἰς τὴν ἀνάστασιν, τὴν ἀληθινὴν σκηνοπηγίαν· κἀκεῖ τοῖς καρποῖς τῆς ἀρετῆς πήξασα τὴν σκηνήν μου κεκοσμημένην, τῇ πρώτῃ τῆς ἑορτῆς ἀναστάσεως ἡμέρᾳ, τῇ κρίσει, συνεορτάζω C τῷ Χριστῷ τὴν χιλιονταετηρίδα τῆς ἀναπαύσεως, τὰς ἑπτὰ καλουμένας ἡμέρας, τὰ σάββατα τὰ ἀληθινά· εἶτα αὖθις ἑπομένη τῷ διεληλυθότι τοὺς οὐρανοὺς Ἰησοῦ, ἔρχομαι πάλιν, καθάπερ κἀκεῖνοι, μετὰ τὴν ἀνάπαυσιν τῆς σκηνοπηγίας, εἰς τὴν γῆν τῆς ἐπαγγελίας τοὺς οὐρανούς, ἐν σκηναῖς D μὴ ἀπομείνασα, τουτέστι τοῦ σκηνώματός μου μὴ ἀπομείναντος τοιούτου· ἀλλὰ μετὰ τὴν χιλιονταετηρίδα μεταβληθέντος ἀπὸ τοῦ σχήματος τοῦ ἀνθρωπίνου, καὶ τῆς φθορᾶς, εἰς ἀγγελικὸν μέγεθος καὶ κάλλος, ἔνθα λοιπὸν ἀπὸ τοῦ θαυμαστοῦ τῆς σκηνῆς αἱ παρθένοι τόπου, μετὰ τὸ

uentes ex tabernaculis, ſic dictis: ſoluentes autem ſpe ac propoſito veniendi ad templum & ciuitatem Dei, in maiorem videlicet, & glorioſiorem proficientes gratiam, ſicut figuræ indicant, quæ priùs in Iudæis præceſſerunt. Quemadmodum enim egreſſi ex finibus illis Ægypti, longam emenſi viam, peruenerunt primùm in tabernacula; & hinc rurſus diſcedentes, venerunt in terram promiſſionis: ita & nos. Iter enim hinc emenſa magnum, & egreſſa ego quoque de Ægypto huius vitæ, venio primùm ad reſurrectionem, veram ſcenopegiam: & ibi fructibus virtutis exſtructo tabernaculo meo, & ſpecioſè ornato, primâ feſti reſurrectionis die, quæ dies eſt iudicij, ſimul celebro cum Chriſto millenarium annorum requiei, quæ ſeptem memoratorum in lege dierum, ſabbatorúmq; totidem verorum mentione adumbratur. Inde rurſus ſequens penetrantem cælos Ieſum venio, vt illi poſt requiem ſcenopegiæ, in terram promiſſionis cælos, in tabernaculis non permanens: hoc eſt corpore meo non remanente tali, quale priùs erat. Sed poſt mille annorum ſpatium mutato ex ſtatu & habitu humano corruptionis, in angelicam magnitudinem, & pulcritudinem. Hinc porrò à loco tabernaculi admirabilis nos Virgines, poſt conſumma-

Num. 33. *Soccoth* latinè ſonat tabernacula.

tum reſurrectionis feſtum, in maiora & meliora tranſimus, in domum ipſam aſcendentes ſupercæleſtem Dei, in voce exultationis, & confeſſionis ſoni epulantis, ſicut ait Pſalmiſta. Pſ. 41. 5.

Hoc & ego domina tibi Arete, qualicumque elaboratum facultate pro munere peplum affero.

EVBVL. Multùm, ô Gregorium, æſtuo apud me, reputans mecum in quanto tumultu mentis fuiſſe iſtâ ſermonum vice Domninam oportuerit, iure metuentem ne ſibi oratio deeſſet, omnibus aliarum ingenio præoccupatis; ac neceſſe ipſi foret exilius iam aliquid, & ab aliarum antè locutarum magnificentiâ degenerans afferre; vt pote in argumento iam exhauſto, ipsâ poſt vberes & otioſas tot Virginum meſſes ſerum demum, & miſerum ſpicilegium faciente. Si ergo non diſſimulauit talem hunc animi ſui motum, age & iſtud quoque tranſige. Miror enim ſi quid habuerit quod diceret, vltimum ſortita diſſerendi locum.

GREGORIVM. Turbatam ſanè ipſam maiorem in modum, ô Eubulium, dixit mihi Theopatra: non tamen laboraſſe penuriâ ſermonum. In eam ergo, poſtquam Tyſiana finem fecit, iniecto Arete oculo: Age tu quoque, ait, filia, ſermonem redde, vt conuiuium omni ex parte abſoluamus. His erubeſcens Dom-

A συμπερανθῆναι τὴν ἑορτὴν τῆς ἀναστάσεως, εἰς τὰ μείζω καὶ κρείττω διερχόμεθα, εἰς τὸν οἶκον αὐτὸν ἀναβαίνουσαι τὸν ὑπὲρ τοὺς οὐρανοὺς τοῦ Θεοῦ, ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχου ἑορτάζοντος, καθώς φησιν ὁ ψαλμῳδός.

B Τούτῳ κἀγὼ, ὦ Ἀρετὴ, κατὰ τὴν ἐμαυτὴν, δέσποινα, δύναμιν δωροῦμαί σε τῷ πέπλῳ.

ΕΥΒΟΥΛ. Λίαν ἀγωνιῶ, ὦ Γρηγόριον, κατ' ἐμαυτὴν ἐννοουμένη ἐν ὁποίῳ θορύβῳ νῦν ἄρα ἡ Δομνῖνα ἦν, ταρασσομένης αὐτῇ τῆς καρδίας, καὶ φοβουμένης μὴ ἀπορήσῃ λόγων, C καὶ ἐνδεέστερόν τι τῶν ἄλλων παρθένων ἀποφθέγξηται, τοσούτων ἤδη ῥηθέντων εἰς τὸ προκείμενον καὶ ποικίλων. εἰ οὖν εὔδηλος ἐγίνετο κεκινημένη, φέρε καὶ τοῦτο περαίωσον. θαυμάζω γὰρ εἴ τι ἔσχεν εἰπεῖν, τελευταῖα κεκληρωμένη.

ΓΡΗΓΟΡΙΟΝ. Τεταράχθαι D μὲν αὐτὴν, ὦ Εὐβούλιον, καὶ σφόδρα, ἔφη μοι ἡ Θεοπάτρα· οὐ μὴν ἠπορηκέναι λόγων. μετὰ τὸ παύσασθαι τὴν Τυσιανὴν ἡ Ἀρετὴ τὸν ὀφθαλμὸν εἰς αὐτὴν ἐπιβαλοῦσα, δεῦρο δὴ καὶ σὺ θύγατερ, ἔφη, τὸν λόγον ἀπόδος, ἵνα πληρώσωμεν ἐντελῆ τὴν εὐωχίαν. τὴν οὖν Δομνῖναν ἐρυ-

θριάσα-

θριάσασαν ἐπιπολὺ, μόλις ἀνανεῦσαι, καὶ εἰς εὐχὴν ἐξαναστᾶσαν τραπῆναι, καὶ καλεῖν τὴν σοφίαν παρεστῆναί οἱ βοηθόν. εὐξαμένη δὲ αὐτῇ θάρσος φησὶν εὐθέως ἐγγίνεσθαι· καί τις αὐτὴν θεία διανοχὴ κατέλαβε, καὶ ἔφη.

A nina vix poſt longam moram annuit: & exurgens ad orandum ſe vertit, inuocans implorânſque auxilium præſens Sapientiæ. Quâ oratione ipſi perfunctæ, aiebat innaſci ſubitò viſam audaciam nouam, & diuinam quandam incidere fiduciam: quam hæc dicendo teſtata eſt.

B

ΔΟΜΝΙΝΑ.

ΛΟΓΟΣ ι΄.

Ὦ ΑΡΕΤΗ, κἀγὼ παραλείψασα τὰς μακρολογίας τῶν προεξηγημάτων, εἰς αὐτὰ τὰ προκείμενα κατὰ δύναμιν εἰπεῖν πειράσομαι· ἵνα δὴ μὴ τῷ μηκύνεσθαι τὰ πάρεργα, πλείονα χρόνον ὧν ἕνεκα λέγονται παράγω· ἡγοῦ- C μαι γὰρ μέγιστον μέρος φρονήσεως εἶναι, τὸ μὴ μακροῖς ἐκ περιόδων περὶ τῶν ἐπερωτηθέντων ποιεῖσθαι τοῖς λόγοις κηλοῦντας τὰ ὦτα· ἀλλ' αὐτόθεν εὐθέως περὶ ὅπου τὸ ἐπερώτημά ἐστιν ἄρχεσθαι. διὸ ἐντεῦθεν κἀγώ, καιρὸς γάρ· οὐδὲν οὕτως ὀνῆσαι δυνήσεται πρὸς τὸ καλὸν τὸν ἄνθρωπον, ὦ καλλιπάρθενοι, ὡς ἁ- D γνεία· τὸ γὰρ κάλλιστα καὶ ἄριστα διακυβερνηθῆναι τὴν ψυχήν, καὶ κηλίδων καὶ μιασμάτων καθαρὰν ἀπολυθῆναι τοῦ κόσμου, μόνη ποιεῖ τοῦτο καὶ ἐργάζεται ἁγνεία. ἀφ' οὗ γὰρ ὁ Χριστὸς ἐδίδασκεν αὐτὴν ἀσκεῖν ἡμᾶς, καὶ ἐμήνυσεν ἡμῖν τὸ ἀνυπέρβλητον κάλλος αὐτῆς, ἡ

DOMNINA.

ORATIO X.

O ARETE, omiſſis & ego ambagibus exordiorum, protinus de re ipſa conabor agere pro viribus: ne iis immorando quæ extra rem ſunt, coniiciam me in neceſſitatem producendæ vltra modum orationis. Numero enim in magna prudentiæ parte, non indulgere mulcentibus inaniter aures verbis, diffundíque dicendo, antequam ad caput ipſum quæſiti veniatur; ſed ex ipſo ſtatim puncto quæſtionis incipere. Hinc igitur ordior: tempus eſt enim. Nihil tam prodeſſe homini ad decus, ô illuſtres Virgines, poterit, quàm Virginitas. Nam vt optimè laudatiſſiméque gubernetur anima, vtque à maculis atque inquinamentis pura, ſoluatur mundi vinculis, ſola præſtat efficítque. Ex quo ſiquidem Chriſtus nos docuit ipſam profiteri, & indicauit nobis excellentiſſimam eius pulcritudinem, re-

gnum diaboli deſtructum eſt, priùs ſemper omnes homines ſubiugare captiuaréque ſoliti. Adeò vt nullus antiquiorum omni ex parte Deo placuerit, ſed omnes in offenſiones incurrerint, lege non valde ſufficiente ad liberandum à corruptione genus humanum, donec Virginitas legi ſuccedens Chriſti auſpiciis, regnum ſuper homines iniuit. Neque verò primi hominum adeò in pugnas, in cædes, in amores, in idololatrias, præcipites ſæpius incurriſſent: ſi iuſtitia quæ ex legibus erat, ſufficiens eis fuiſſet ad ſalutem. Nunc videmus, illo maximè legis tempore multis ipſos plerumque magníſque immiſtos miſeriis fuiſſe: ex quo verò Chriſtus incarnatus eſt, & Virginitate ornatam carnem armauit, crudelis ille tyrannus, Princeps nequitiæ ſublatus eſt, & pax fidéſque dominatur, hominibus non iam vt antè in idololatriam pronis. Sed ne cui videar ſophiſticâ graſſari arte, leuibúſque innixa coniecturis vana venditare pro ſolidis: ex veteri vobis, ô Virgines, & ego teſtamento ſcriptam prophetiam indubitatum veritatis meæ teſtimonium afferam ex libro Iudicum, vbi clarè Virginitatis regnum olim futurum prænunciabatur tanto antè. Ait videlicet ibi ſcriptura. *Euntia*
Iud 9.8. *ierunt ligna vt vngerent ſuper ſe Regem, dixerúntque oliuæ:*

A βασιλεία τοῦ πονηροῦ καθῃρέθη, πρότερον ἀεὶ πάντας αἰχμαλωτίζοντος καὶ δουλουμένου· ὡς μὴ τῶν παλαιοτέρων εὐάρεστον γεγονέναι κυρίῳ τινὰ, ἀλλὰ πάντας ἐπικρατηθῆναι πταίσμασιν, οὐ σφόδρα τοῦ νόμου τῆς φθορᾶς ἀρκέσαντος ἐλευθερῶσαι τὴν ἀνθρωπότητα, μέχρις ἡ
B παρθενία διαδεξαμένη τὸν νόμον Χριστοῦ ταγαῖς, τῶν ἀνθρώπων ἐβασίλευσεν. οὐ γὰρ ἂν οὕτως οἱ πρόσθεν εἰς μάχας καὶ φόνους καὶ ἔρωτας καὶ εἰδωλολατρείας συνελαύνοντο πολλάκις, εἰ ἦν αὐτοῖς ἡ ἐκ τῶν νόμων αὐτάρκης πρὸς σωτηρίαν δικαιοσύνη· νυνὶ δὲ τότε μὲν μεγάλαις καὶ πολλαῖς πολλάκις ἐνεφύροντο συμφοραῖς· ἀφ' οὗ
C δὲ Χριστὸς ἐνηνθρώπησε, καὶ παρθενίᾳ τὴν σάρκα κοσμήσας ὥπλισεν, ὁ ὠμοτύραννος ἄρχων τῆς ἀκρασίας ᾑρέθη, καὶ εἰρήνη καὶ πίστις κρατεῖ, οὐκέτι τῶν ἀνθρώπων ὡσαύτως τρεπομένων εἰς εἰδωλολατρείαν, ὥσπερ καὶ πάλαι. ἀλλ' ἵνα μὴ δόξω τισὶ σοφίζεσθαι, καὶ ἀπὸ τῶν εἰκότων τεκμαίρεσθαι ταῦτα, καὶ φλυαφᾶν· ἐκ τῆς παλαιᾶς
D ὑμῖν, ὦ παρθένοι, κἀγὼ προέξομαι διαθήκης ἔγγραφον προφητείαν, ὡς ἀληθῆ λέγω, τῶν κριτῶν· ἔνθα φανερῶς ἡ βασιλεία τῆς ἁγνείας ἤδη προκατηγγέλλετο. φησὶ γάρ. πορευόμενα ἐπορεύθησαν τὰ ξύλα τοῦ χρίσαι ἐφ' ἑαυτῶν βασιλέα. καὶ εἶπον τῇ ἐλαίᾳ,

βασίλευσον ἐφ' ἡμᾶς· καὶ εἶπεν A
αὐτοῖς ἡ ἐλαία· ἀφεῖσα τὴν
πιότητά μου, ἣν ἐδόξασεν ὁ Θεὸς
καὶ οἱ ἄνθρωποι, πορευθῶ ἄρ-
χειν τῶν ξύλων; καὶ εἶπον τὰ
ξύλα πάντα τῇ συκῇ, δεῦρο βα-
σίλευσον ἐφ' ἡμᾶς· καὶ εἶπεν αὐ-
τοῖς ἡ συκῆ· ἀφεῖσα τὴν γλυκύ-
τητά μου καὶ τὸ γέννημά μου τὸ
ἀγαθὸν, πορευθῶ ἄρχειν τῶν ξύ- B
λων; καὶ εἶπον τὰ ξύλα τῇ ἀμ-
πέλῳ, βασίλευσον ἐφ' ἡμᾶς· καὶ
εἶπεν αὐτοῖς ἡ ἄμπελος· ἀφεῖσα
τὸν οἶνόν μου τὴν εὐφροσύνην
τῶν ἀνθρώπων, πορευθῶ ἄρχειν
τῶν ξύλων; καὶ εἶπον τὰ ξύλα
πρὸς τὴν ῥάμνον, δεῦρο βα-
σίλευσον ἐφ' ἡμᾶς· καὶ εἶπεν ἡ
ῥάμνος πρὸς τὰ ξύλα· εἰ ἐν ἀ- C
ληθείᾳ χρίετέ με ὑμεῖς εἰς βασι-
λέα ἐφ' ὑμᾶς, δεῦτε πεποίθατε
ἐν τῇ σκέπῃ μου· εἰ μὴ, ἐξέλθῃ
πῦρ ἐκ τῆς ῥάμνου καὶ καταφάγῃ
τὰς κέδρους τοῦ Λιβάνου. ταῦτα
δὲ ὅτι μὴ περὶ ξύλων τῶν ἐκ γῆς
φυομένων ἐλέχθη, σαφές. οὐ
γὰρ αὖ ἑαυτοῖς τὰ δένδρα τὰ ἄ-
ψυχα χειροτονήσοντα βασιλέα
συνήρχοντο, ταῖς ῥίζαις εἰς τὴν D
γῆν κατεστηλωμένα· ἀλλὰ πάν-
τως περὶ ψυχῶν ἱστορεῖται ταῦ-
τα, αἳ πρὸ τῆς ἐνανθρωπήσεως
τοῦ Χριστοῦ καθυλομανήσασαι τοῖς
παραπτώμασι, προσιᾶσιν οἶκτον
αὐτῶν ἀξιοῦσαι λαβεῖν τὸν Θεὸν,
καὶ βασιλεῦσαι τὸν ἔλεον. καὶ

*regna ſuper nos. Et dixit eis
oliua : numquid derelinquens
pinguedinem meam, quam glo-
rificauit Deus, & homines,
ibo vt imperem lignis? Dixe-
rúntque ligna omnia ficui : ve-
ni, regna ſuper nos. Et dixit
eis ficus : numquid derelinquens
dulcedinem meam, & geni-
mem meum bonum, ibo vt im-
perem lignis? Et dixerunt li-
gna ad vitem : regna ſuper nos.
Et dixit eis vitis : numquid de-
relinquens vinum meum, quod
eſt lætitia hominum, ibo vt im-
perem lignis? Dixerúntque li-
gna Rhamno : veni, regna ſu-
per nos. Et dixit Rhamnus ad
ligna : ſi in veritate vngitis
me in Regem ſuper vos, veni-
te, confidite in protectione mea.
Sin minùs : egrediatur ignis de
Rhamno, & deuoret cedros Li-
bani.* Hæc quidem de arbo-
ribus ex terra ortis non eſſe
dicta, manifeſtum eſt. Non e-
nim conuenire in conſilium
plantæ potuerunt, ſuis quæ-
que per altè immiſſas affixæ ra-
dices locis; aut inire delibera-
tionem, conferréve ſuffragium
de conſtituendo Rege, ſenſu
ac mente caſſæ valuerunt res.
Omnino ſub allegorica ima-
gine arborum, de animabus
hæc dicuntur, quæ ante incar-
nationem Chriſti, luxuriatæ
tranſgreſſionibus, accedunt ad
Deum ſupplices, eúmque ro-
gant vt ſui miſereatur, & mi-
ſericordia benignitáſque re-
gnet. hanc enim ſub oliuæ

ſymbolo ſcriptura deſignauit, idcirco quòd oleum multum proſit corporibus, ægritudinum remedium, laborúmque ſolatium ſit, lucem denique præcipuum vitæ ſubminiſtret bonum. Oleo ſiquidem plerúmque alitur flamma lampadum humanis vſibus ſeruientium. Omnes autem miſericordiæ Dei, mortis peccatorúmque remedia ſunt, & ſolatia opportuna præbent humanæ infirmitati, alimentáque ſufficiunt luci cordis. Et conſiderate num fortè omnes quæ ſibi ab homine primo ad Chriſtum ordine ſibi leges ſucceſſerunt, ſcriptura in his deſignare voluerit: quas totidem præſtigiarum ſuarum figmentis æmulari, oppugnaréque curauit diabolus, tentans in iis humanus genus. Ac ficum quidem videtur ſcriptura comparare mandato, quod in paradiſo datum eſt homini: nam & nuditatem ille deceptus, & deprehenſus, ſuam foliis ficus contexit. Vitem autem referre ad præceptum, quod poſt diluuiū Noë datum eſt: cùm is ſopitus & indecorè iacens, inexpertâ vi guſtati vini, à filio ſit irriſus. Oliuâ deinde ſignificat Moſaïcam latam in deſerto legem: eo quòd gratia prophetica, quæ tunc communicari eluceſceréque pleniùs filiis Iſraël cœpit, olei ſancti deſignata ſymbolo ſit, aliquando in ipſorum hereditate, velut in lampade, defecturi. Denique Rhamnum non ineptè refert ad eam legem, quæ Apoſtolis ad mundi ſalutem data eſt: quia per illorum inſtitutionem virginitatem didicimus: cuius ſolius fallacem æmulari fingeréque diabolus, quæ pro verâ falleret, imaginem non

A ἀπαλλαγίαν, καὶ ἐλαίας τύπῳ παρέλαβεν ἡ γραφή, διὰ τὸ ἀρωγὸν τὸ ἔλαιον σωμάτων εἶναι, καὶ λυτήριον καμάτων καὶ πόνων, φωτός τε παρεκτικόν· ἐλαίῳ γὰρ καταρδόμενον πᾶν τὸ λυχνιαῖον αὔξεται σέλας. λυτήριοι δὲ καὶ οἱ τοῦ Θεοῦ πάντες οἰκτιρμοὶ θανάτου καὶ ἁμαρτημάτων, B καὶ ἀρωγοὶ τῆς ἀνθρωπότητος, καὶ τοῦ τῆς καρδίας φωτὸς θρεπτικοί. καὶ ἐπισκέψασθε μήποτε τὰς ἀπὸ τοῦ πρωτοπλάστου μέχρι τοῦ Χριστοῦ καθεξῆς ἡ γραφὴ νομοθεσίας δηλοῖ, ὧν ὁ διάβολος ἀντιμίμοις ἐξήτασε πλάσμασι τὸ τῶν ἀνθρώπων γένος· τὴν μὲν συκῆν ἀπεικάζουσα τῇ C κατὰ τὸν παράδεισον δοθείσῃ τῷ ἀνθρώπῳ ἐντολῇ· ἐπειδὴ τὴν γύμνωσιν ἀπατηθεὶς αὐτοῦ πετάλοις ἐπεκάλυψε συκῆς· τὴν δὲ ἄμπελον, τῇ ἐπὶ τοῦ κατακλυσμοῦ τῷ Νῶε, διὰ τὸ οἴνῳ κοιμηθέντα χλευασθῆναι· τὴν δὲ ἐλαίαν τῇ κατὰ τὴν ἔρημον τῷ Μωσεῖ· ἐπειδὴ τὸ χάρισμα τὸ προφητικόν, τὸ ἔλαιον τὸ ἅγιον, ἀνομησάντων αὐτῶν ἐκλελοίπει τῆς κληρονομίας· τὴν δὲ D ῥάμνον τῇ ἐπὶ σωτηρίᾳ τοῦ κόσμου τοῖς ἀποστόλοις· ἐπειδήπερ δι' αὐτῶν ἐδιδάχθημεν ἁγνείαν, ἧς ἀπατηλὸν μόνης εἴδωλον οὐκ ἴσχυσεν ὁ διάβολος

σκευάσαι. διὰ τοῦτο καὶ εὐαγγέλια τέσσαρα παραδέδοται, τετράκις εὐαγγελισαμένου τοῦ Θεοῦ τὴν ἀνθρωπότητα, καὶ παιδαγωγήσαντος τέσσαρσι νόμοις, ὧν οἱ καιροὶ σαφῶς ἀπὸ τῆς διαφορότητος δηλοῦνται τῶν καρπῶν. ἡ μὲν γὰρ συκῆ, διὰ τὴν γλυκασίαν καὶ τὸν ὡραϊσμὸν, τὴν τρυφὴν τὴν πρὸ τῆς παραβάσεως ἐν παραδείσῳ τοῦ ἀνθρώπου παρέστησι γεγενημένην. ἔστι γὰρ ὅτε δὴ καὶ σφόδρα πολλαχῶς τῆς συκῆς τὸν καρπὸν τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ τοῦ κρείττονος λαμβάνει, καθὼς ἀποδείξομεν ὕστερον· ἡ δὲ ἄμπελος διὰ τὴν ἱλαρότητα τὴν ἐκ τοῦ οἴνου, καὶ τὴν εὐφροσύνην τῶν περισωθέντων τῆς ὀργῆς καὶ τοῦ κατακλυσμοῦ, τὴν ἀπὸ τοῦ φόβου, καὶ τῆς φροντίδος, τὴν εἰς τὴν χαρὰν αὐτῶν μεταβολὴν αἰνίσσεται. ἡ δὲ ἐλαία διὰ τὸν καρπὸν τοῦ ἐλαίου τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ μηνύει, πάλιν ἀνεξικακήσαντος μετὰ τὸν κατακλυσμὸν, τῶν ἀνθρώπων ἐκτραπέντων εἰς ἀθεότητα, δοῦναι νόμον καὶ ἐμφανισθῆναί τισι, καὶ ὥσπερ ἀποσβεννυμένην ἤδη τὴν αὐγὴν τῆς ἀρετῆς ἐλαίῳ λιπᾶναι. ἡ δὲ ῥάμνος καὶ ἄγνος ἐστὶν, ὑφ' ὧν μὲν ῥάμνος καλούμενον, ὑφ' ὧν δὲ ἄγνος· καὶ τάχα διὰ τὸ συγγενὲς φυτὸν τοῦτο τῇ παρθενίᾳ πεφυκέναι, ταύτῃ ῥάμνος,

A potuit. Propterea Euangelia quatuor tradita ſunt, nűciorum à Deo miſſorum ad homines poſt orbem conditum numerű adæquantia. Quatuor enim diuerſo tempore promulgatis legibus erudire Deus homines voluit; quarum vniuſcuiuſq; propria tempora ſuis characteribus
B inſigniuntur, per differẽtias fructuum, ex iis culturis productorum. Etenim ficus, mite ac præ cæteris dulce delicatúmque pomum, delicias paradiſi voluptariæque, in qua homo antè lapſum fuit, felicitatem vitæ aptè indicat. Sanè non rarò, vt poſtea demonſtrabimus, ficus fructum Spiritus ſanctus, ad rei melioris indicationem refert. Vitis autem propter hilaritatem vini,
C & lætitiã primùm ipſam experrorum, eorum nimirű qui ſe ab ira Dei ſeruatos, & naufragio mũdi ſuperſtites poſt diluuium gratulati ſunt, (quæ lætitia timori curíſque ſuccedebat) tranſitum, qualis ipſorum fuit, in ſecurum gaudium adumbrat. Oliua porrò propter olei, quod
D producit, naturam, Dei miſericordiã ſignificat eam, quã iterű à diluuio patienter ſuſtinuit improbitatẽ hominum in ſui contemptű, & ignorationem auerſorum, dando nihilominus legẽ, & oſtendendo ſe manifeſtiùs quibuſdam, ac quaſi ſenſim deficienrem virtutis humanæ lampadem, infuſo ſubinde oleo, vt non penitus extingueretur, ſed ſemper luceret fecit. Rhamnus autẽ alio græco nomine *ἄγνος agnus, hoc eſt caſta*, dicitur, promiſcuè alterutro iſtorum vocabulorum

A appellari ſolita, fortè propter affinitatem, quam cum virginitate habet. Rhamnus quidem dicta, propter ſoliditatem rigiditatémque aduerſus voluptatem quandam græco iſto verbo propriè indicatam. Agnus autē, hoc eſt caſta, quòd talis ſemper duret. Vnde Eliam à facie Ieſabelis mulieris fugientē ſcriptura refert ſub rhamno acquieuiſſe primùm: ibíque exaudi- B tum, corroboratum eſſe ſumpto cibo. quo indicatur eum qui libidinem fugit, & mulierem voluptatem tutum ſecurúmq; inuenire refugium ſub virginitatis vmbra, quam arborem principis Virginum Chriſti aduentus ſtatúſque è terra eduxit, regnum humanæ virtutis meritò C adepturam rectéque geſturam. Cùm enim experientiâ compertum eſſet ipsâ, non ſufficere ad ſaluādum hominem, leges temporibus Adami, Noë, Moyſíſq; promulgatas, eâdem experientiâ deprehēſum eſt, ſolam legem Euangelicam ad ſalutem eſſe cunctorum efficacem. Ficus ſiquidem, electa eſt vt regnaret D ſuper ligna: quo loco ligna hominem ſymbolicè ſignificant, ficus verò præceptum. Primus homo ſcilicet poſt lapſum voluit rurſus ſub regno virtutis eſſe, & optauit ab immortalitate deliciíſque paradiſi non eiici. Sed reiectum eſt illud eius deſiderium iuſtâ tranſgreſſionis pœnâ, & ipſe procul exturbatus: eíque declaratum non poſſe ipſum ampliùs ſub regno incorruptionis in illis amœniſſimis locis iucundè viuere. Prima ſic eiecto nouæ legis promulgatio

A καὶ ἄγνος προσηγορεύθη· ῥάμνος μὲν παρὰ στερέμνιον καὶ καρτερὸν πρὸς τὰς ἡδονάς· ἄγνος δὲ παρὰ τὸ διὰ παντὸς ἁγνεύειν· ὅθεν καὶ τὸν Ἠλίαν ἐκ προσώπου τῆς Ἰεζάβελ γυναικὸς φεύγοντα, λόγος ὑπὸ ῥάμνον ἐλθεῖν πρῶτον, καὶ εἰσακουσθέντα ἐνισχῦσαι, καὶ λαβεῖν τροφήν, ὅτι τῶν φευγόν- B των οἶστρον, καὶ τὴν γυναῖκα τῆς ἡδονῆς, τὸ καταγώγιον, καὶ ἡ σκέπη, τὸ τῆς ἁγνείας ἐβλάστησε ξύλον· ἀπὸ τῆς παρουσίας τοῦ ἀρχιπαρθένου Χριστοῦ βασιλεῦσαι τῶν ἀνθρώπων. τὸ γὰρ πρῶτον ἀθετησάντων σῶσαι νομοθετημάτων τὸν ἄνθρωπον, τῶν ἐπὶ τοῦ Ἀδὰμ καὶ τοῦ Νῶε, καὶ τῶν ἐπὶ τοῦ Μωσέως, ἡ C κατὰ τὸ εὐαγγέλιον ἔσωσε μόνη νομοθεσία πάντας· ἡ γὰρ συκῆ ταύτῃ λέγεται βασιλεῦσαι τῶν ξύλων, τῶν ἀνθρώπων νοουμένων· συκῆς δὲ, τῆς ἐντολῆς· αἰθ' ὧν ὁ ἄνθρωπος μετὰ τὸ πεσεῖν ἤθελε πάλιν ὑπὸ τῆς ἀρετῆς βασιλεύεσθαι, καὶ τῆς ἀφθαρσίας τοῦ παραδείσου τῆς τρυφῆς μὴ ἀποβληθῆναι. ἀλλ' ἀ- D πεκρούσθη παραβάς, καὶ ἀπεβλήθη μακράν· ὡς μὴ δυνάμενος ὑπὸ τῆς ἀφθαρσίας ἔτι μηδὲ χωρεῖν βασιλεύεσθαι· καὶ πρῶτον αὐτῷ τὸ κήρυγμα μετὰ τὴν παράβασιν

A πέμπεται τὸ διὰ Νῶε· ἵν' ἐὰν προσέχῃ, κἂν τούτῳ σωθῆναι τῆς ἁμαρτίας ἰσχύσῃ, ἀνάπαυσιν ἀπαγγελλόμενον τὴν ἀπὸ τῶν κακῶν, καὶ εὐφροσύνην, εἰ ἀσκήσαιεν αὐτὸ κατὰ κράτος. ὥσπερ καὶ τὸν οἶνον ἡ ἄμπελος ἐπαγγέλλεται γεωργοῖς τοῖς ἀσκοῦσιν καὶ ἐργαζομένοις· ἀλλὰ καὶ τοῦτο οὐκ ἐ- B βασίλευσε τὸ νομοθέτημα τῆς ἀνθρωπότητος, ὅτι μὴ ἐπείσθησαν αὐτῷ κηρυσσομένῳ σπουδαίως πρὸς τοῦ Νῶε· ἀλλὰ καὶ μετὰ τὸ συνέχεσθαι ἤδη καὶ πνίγεσθαι τοῖς ὕδασιν, ἤρξαντο μετανοεῖν, καὶ ἐπαγγέλλεσθαι παρέχειν ἑαυτοὺς πεισθησομένους ταῖς ἐντολαῖς. ὅθεν καὶ ὑπερηφανοῦνται βασιλεύεσθαι, τουτέστιν ὑπὸ τοῦ κηρύγμα- C τος ὑπερηφανοῦνται βοηθεῖσθαι τῆς ἐντολῆς, ἀνταποκρινομένου τοῦ πνεύματος αὐτοῖς, καὶ ὀνειδίζοντος, ὥσπερ κατέλειψαν οἷς ἐκέλευσεν ὁ Θεὸς ἀνθρώποις, ὦ ἀπεράμονες, βοηθεῖν μὲν καὶ σώζειν τούτους καὶ εὐφραίνειν, οἷον τὸν Νῶε καὶ τοὺς σὺν αὐτῷ, ἐλθὼν D βοηθῆσαι τοῖς φρονήσεως ὑμῖν ἀκάρποις, καὶ ξύλων ξηρῶν οὐδὲν ἀπεοικόσι, πρότερον μὴ πιστεύσασί μοι κηρύσσοντι φύξιν τῶν παρόντων. καὶ δὴ καὶ τούτων οὕτως ἀπαξιωθέντων τῆς θείας κηδεμονίας, καὶ πάλιν τῆς ἀνθρωπό-

A Noë temporibus miſſa eſt: cui ſi attenderet, poſſet per eam à peccato ſaluari: quare quies ipſi à malis, & lætitia denunciabatur, ſi legem illam totis exercere viribus induceret in animum. vti & vinum vitis ſe producturam agricolis denunciat, modò eam diligenter curauerint & excoluerint. Verùm ne hæc quidem B lex regnauit ſuper homines, quoniam ei obtemperare noluerunt, accuratè licèt à Noë promulgatæ. Cæterùm malo domiti, poſtquam vndique circumuenti aquis ſuffocarentur, ceperunt pœnitere, promiſerúntque ſe obedientes mandatis futuros. Reiecti tamen ſunt & ſpreti, neque digni viſi ſunt, qui regerentur illo im- C perio, id eſt, à promulgata ipſis lege iuuarentur: reſponſante ipſis Spiritu, & exprobrante, quòd neglexiſſent monita eorum, qui Dei iuſſu, & miſſu ad ipſos venerant; atque aiente: Illos quidem, ô contumaces, quos reieciſtis irriſiſtíſque ſalutaria vobis ſuadentes, Noë videlicet ac filios eius, ego in hoc D diſcrimine ſeruabo, & conſolabor, vltrò iis ſuppetias veniens: vos autem malas arbores nullo prudentiæ fructu commendatas, & nihil differentes à lignis aridis, peſſum ire, vt cœpiſtis, & digni eſtis, patiar: quando mihi antea prædicanti præſentium malorum fugam, fidem adhibere noluiſtis. His per huncmodum à paterna cura benignæ Dei prouidentiæ abdicatis, & rurſus poſtea humano genere in

errorem effuſo: tertiò Deus miſit regnaturam hominibus, & iis iuſtitiæ recordationem inducturam, legem datam per Moyſen. Illi autem longo ei vale dicto, in idololatriam ſe addiderunt. Vnde in cædes mutuas, & fugas captiuitatéſque hos quoque Deus tradidit; lege ipſa quaſi ſentiente fatentéque ſaluari eos per ſe non poſſe: etiam cùm poſtea percuſſi afflictíque commeritis malis, pollicebantur pœnitentes ac ſupplices, ſeſe mandatis obedituros. Quoad Deus quartùm miſeratus hominem, caſtitatem miſit in regnum mundi, quarto loco in hac quam tractamus ſcriptura rhamni ſymbolo deſignatam. Hæc rigidè auſteréque abſumptis voluptatibus, etiam minatur niſi ei ſine cunctatione omnes obediant, & in veritate ad ipſam accedant, igni conſumpturam vniuerſos. Non enim futuram aliam poſtea legem, aut promulgationem nouæ ad ſalutẽ efficacis doctrinæ; ſed mutationem quæ prima occurret rerum, fore vltimum iudicium, & finale incendiũ ignis extremi. Ea denunciatione ac metu iuſtè agere homo cœpit, & credere firmiter Deo, abrumperéque ſe à diabolo. Sic vtiliſſimum & ſalutare auxilium ſubmiſit Deus hominibus caſtitatem: quippe quam ſolam imitari arte malâ, effingeréque eius falſum ſimile vero ſimulacrum diabolus ad fallendum non potuit: ſicut in aliis legibus non infeliciter attentauerat. Etenim per ficum, vt dixi, cùm ſigni-

A τητος εἰς πλάνην κεχυμένης, αὖθις ὁ Θεὸς ἀπέστειλε βασιλεύσοντα νόμον, καὶ ὑπομνήσοντα δικαιοσύνην ἐπὶ Μωσέως· οἱ δὲ μακρὰν καὶ τούτῳ χαίρειν φράσαντες, εἰς εἰδωλολατρείαν μετέστησαν. ὅθεν ὁ Θεὸς εἰς ἀλληλοφονίας, καὶ δρασμοὺς, καὶ αἰχμαλωσίας παρέδωκε καὶ τούτους, ἀποδοξήσαντος αὐτοὺς σώζειν
B τοῦ νόμου· οἱ μετὰ τὸ συνελαθῆναι τοῖς κακοῖς, ποτνιώμενοι πάλιν ἐπηγγέλλοντο πειθαρχεῖν ταῖς ἐντολαῖς· μέχρις ὁ Θεὸς τέταρτον κατελεήσας τὸν ἄνθρωπον, τὴν ἁγνείαν ἀπέστειλε βασιλεῦσαι, ἣν ῥάμνον ἀκολούθως ἐκάλεσεν ἡ γραφή. ἥτις καταναλώσασα τὰς ἡδονὰς, καὶ ἀπειλήσασα λοιπὸν, εἰ μὴ
C αὐτῇ πάντες ἀνενδοιάστως καὶ ἐν ἀληθείᾳ προσέρχοιντο, πυρὶ καταδαπανῆσαι πάντας· οὐκ ἔτι γὰρ μετὰ ταύτην ἔσεσθαι νόμον ἢ διδασκαλίαν ἑτέραν, ἀλλὰ κρίσιν καὶ πῦρ· καὶ διὰ τοῦτο λοιπὸν ἀπεντεῦθεν δικαιοπραγεῖν ὁ ἄνθρωπος ἤρξατο, καὶ πιστεύειν βεβαίως τῷ Θεῷ, καὶ ἀποσχίζεσθαι τοῦ δια-
D βόλου. οὕτως ὠφελιμώτατον καὶ ἀρωγὸν κατεπέμφθη τοῖς ἀνθρώποις ἁγνεία. μόνης γὰρ αὐτῆς ἀντίμιμον οὐκ ἴσχυσεν ἐργάσασθαι πρὸς ἀπάτην ὁ διάβολος, ὥσπερ καὶ τῶν ἄλλων νομοθετημάτων. τῆς γὰρ συκῆς, ὡς ἔφην, διὰ τὴν γλυ-

σασίαν

κασίαν τοῦ καρποῦ καὶ τὸν ὡραϊσμὸν ἐν τύπῳ τῆς ἐν παραδείσῳ τρυφῆς παραλειφθείσης, τοῖς ἀντιμίμοις αὐτῆς ἀποβουκολήσας τὸν ἄνθρωπον ὁ διάβολος ἤχρευσε, τὴν γύμνωσιν καλύψαι πείσας τοῦ σώματος πετάλοις συκῆς, ὅ ἐστι διὰ τὸ κνησμῶδες, τρυφῇ φιληδόνῳ· τοὺς δὲ περισωθέντας αὖθις ἐκ τοῦ κατακλυσμοῦ, διὰ τὴν τῆς πνευματικῆς εὐφροσύνης ἄμπελον, ἀντιμίμῳ πόματι μεθύσας, κατεχλεύασε πάλιν, ἀπογυμνώσας τὸν ἄνθρωπον ἀρετῆς. ἔσται δὲ σαφέστερον μᾶλλον ἐντεῦθεν ὃ λέγω· ἡ ἀντικειμένη δύναμις ἀεὶ μιμεῖται τῆς ἀρετῆς καὶ τῆς δικαιοσύνης τὰ σχήματα, οὐ πρὸς ἄσκησιν κατὰ ἀλήθειαν, ἀλλὰ πρὸς ἀπάτην καὶ ὑπόκρισιν· ἵνα γὰρ δελεάσῃ πρὸς θάνατον τοὺς φεύγοντας τὸν θάνατον, ἀθανασίας ἔξωθεν καλλωπίζεται σχηματισμοῖς· καὶ ταύτῃ συκῆ βούλεται νομίζεσθαι καὶ ἄμπελος, καὶ γλυκύτητα καὶ εὐφροσύνην ἐγγυᾶν, εἰς ἄγγελον μετασχηματιζομένη φωτός, καὶ προσχήματι θεοσεβείας δελεάζουσα πολλούς. δύο γὰρ εἶναι διαφορὰς συκέων καὶ ἀμπέλων εὑρίσκομεν ἐν ταῖς γραφαῖς. σῦκα τὰ χρηστά, χρηστὰ λίαν· καὶ σῦκα τὰ πικρά, πικρὰ λίαν· οἶνον εὐφραίνοντα καρδίαν ἀνθρώπων, καὶ οἶνον θυμὸν δρακόντων, καὶ θυμὸν ἀσπίδων

A ficaretur dulcedo vitæ felicis, quam in paradiſo innocentes adhuc primi homines experti erant; miſeris eius operâ illinc expelli meritis fallax ſolatium illuſor excogitauit, ficulneum integumentum nuditatis: cuius quippe arboris fructum abſtulerat, folia reddidit, iiſque vt ilia velarent auctor fuit etiam in tali
B conſilio malitioſus: cùm folia illa molliter ſcabra, & affrictu ſuo pruritum cientia, ſpe proritandæ libidinis illis partibus admoueret. Seruatis quoque à diluuio, ac per ſpiritualis lætitiæ virem recrearis, æmulum propinauit noui liquoris calicem, quo inebriatum irriſit rurſus, virtutiſque veſtitu ſpoliauit hominem. Erit autem deinceps
C manifeſtius quod dico. Aduerſaria poteſtas ſemper imitatur virtutis iuſtitiæq; habitus, non ad profectum ſuum ſecundum veritatem: ſed ad deceptionem alienam ſimulatione fraudulentâ. Vt enim ad mortem illecebrâ pertrahat fugientes mortem, immortalibus exteriùs coloribus fucatur: ficus vult vitíſ-
D que exiſtimari: dulcedinem ex ſe lætitiámque ſpondet, in Angelum transfiguratæ lucis, & ſpecie religionis illiciens multos in perniciem. Duo enim eſſe genera ficuum vitiúmque in ſacris literis reperimus. *Ficus bonas, bonas valde, & ficus malas, malas valde. Vinum lætificans cor hominum; & vinum fel draconum, & venenum aſpidum* *Ier. 24. 3.*

A *inſanabile.* Sed ex quo regnum iniit hominum caſtitas, deprehenſa fraus eſt, & facilè reiecta, Principe Virginum Chriſto illam auertente. Et vera ficus, & vera vitis fructificant, poſtquam imperium in omnes caſtitas accepit. Sicuti Ioël Propheta euangelizat: *Confide terra*, dicens, *gaude & lætare; quoniam magnificauit Do-* B *minus vt faceret. Confidite iumenta campi, quia germinauerunt campi ſolitudinis, quia lignum attulit fructum ſuum, ficus & vinea dederunt virtutem ſuam. Et filij Sion gaudete, & lætamini in Domino Deo veſtro, quia dedit vobis cibum in iuſtitiam.* Vitem & ficum arbores fructus in iuſti- C tiam germinantes priores leges vocans, quæ poſt incarnationem Verbi fructificarunt, quando regnauit ſuper nos caſtitas, cùm antea continuiſſent ſuppreſſiſſéntque ſua germina, ob peccatum, & multum errorem. Non enim potuit tale nobis alimentum, D quod ad vitam proficeret præbere vitis vera, & ficus vera, ficu adhuc non verâ, & ad fraudem faciendam aſſimulatâ, florente. Sed quando arefecit Dominus falſa germina ſpeciosè compoſita ad fucoſam imitationem verorum, prolatâ ſententiâ in amariferam ficum, *ne amplius naſcatur ex te*

Ioel. 2. 21.

Matt. 21. 19.

ἀνίατον. ἀλλ' ἀφ' οὗ λοιπὸν ἐβασίλευσεν ἁγνεία τῶν ἀνθρώπων, ἠλέγχθη ἡ πλάνη καὶ νενίκηται, τοῦ ἀρχιπαρθένου Χριστοῦ καταστρέψαντος αὐτήν, καὶ ἡ ἀληθινὴ συκῆ, καὶ ἡ ἀληθινὴ ἄμπελος καρποφοροῦσι, μετὰ τὸ κρατῆσαι πάντων ἁγνείαν, καθάπερ καὶ Ἰωὴλ ὁ προφήτης εὐαγγελίζεται· θάρσει γῆ, λέγων, καὶ χαῖρε, καὶ εὐφραίνου, ὅτι ἐμεγάλυνε κύριος τοῦ ποιῆσαι· θαρσεῖτε κτήνη τοῦ πεδίου, ὅτι βεβλάστηκε τὰ πεδία τῆς ἐρήμου, ὅτι ξύλον ἤνεγκε τὸν καρπὸν αὐτοῦ, ἄμπελος καὶ συκῆ ἔδωκαν τὴν ἰσχὺν αὐτῶν. καὶ τὰ τέκνα Σιὼν χαίρετε καὶ εὐφραίνεσθε ἐπὶ κυρίῳ Θεῷ ὑμῶν, διότι ἔδωκεν ὑμῖν βρῶσιν εἰς δικαιοσύνην· ἄμπελον καὶ συκῆν δένδρα καρποὺς εἰς δικαιοσύνην βλαστήσαντα τοῖς τέκνοις τῆς νοητῆς Σιών, τὰς ἔμπροσθεν νομοθεσίας καλῶν, ἃ μετὰ τὴν ἐνανθρώπησιν ἐκαρποφόρησαν τοῦ λόγου, ὁπότε ἐβασίλευσεν ἡμῶν ἡ ἁγνεία, πρόσθεν ἀποκρατήσαντα, καὶ ἀπομύσαντα τὰς βλαστὰς διὰ τὴν ἁμαρτίαν καὶ τὴν πολλὴν πλάνην· οὐδὲ γὰρ ἠδύνατο τὴν εἰς ζωὴν ἀναδιδομένην ἡμῖν παρασχεῖν τροφὴν ἡ ἄμπελος ἡ ἀληθινὴ, καὶ ἡ συκῆ ἡ ἀληθινὴ, ἔτι τῆς συκῆς τῆς μὴ ἀληθινῆς, καὶ πρὸς ἀπάτην πεποικιλμένης, ἀνθούσης. ἀλλ' ὅτε κατεξήρανεν ὁ κύριος τὰ νόθα, καὶ ἀντίμιμα τῶν ἀληθινῶν, ἀποφηνάμενος τῇ πικροφόρῳ συκῇ τὸ, μηκέτι γένηται

καρπὸς ἐκ Θεοῦ εἰς τὸν αἰῶνα· τό- A τε γὰρ ὄντως ἀνέθαλε καρποφόρα, καὶ ἐβλάστησε βρῶσιν εἰς δικαιοσύνην. ἔστι δὲ καὶ ὅτι εἰς αὐτὸν ἀναφέρεται τὸν κύριον ἡ ἄμπελος πολλαχῶς, εἰς δὲ τὸ πνεῦμα τὸ ἅγιον ἡ συκῆ· ὡς τοῦ μὲν κυρίου τὰς καρδίας ἱλαρύνοντος τῶν ἀνθρώπων, τοῦ δὲ πνεύματος ἰωμένου· καὶ διὰ τοῦ- B το προστάσσεται πρῶτον Ἐζεκίας παλάθῃ καταπλασθῆναι σύκων· ὃ δή ἐστι τῷ καρπῷ τοῦ πνεύματος, ἵνα θεραπευθῇ, οἱονεὶ κατὰ τὸν ἀπόστολον, τῇ ἀγάπῃ. ὁ γὰρ καρπός, φησι, τοῦ πνεύματος ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, πίστις, πραότης, ἐγκράτεια· ὧν διὰ τὴν πολ- C λὴν γλυκύτητα, σῦκα ὁ προφήτης ἐκάλεσε. Καὶ ὁ Μιχαίας δέ· καὶ ἀναπαύσεται ἕκαστος φησὶν, ὑπὸ τὴν ἄμπελον αὐτοῦ, καὶ ἕκαστος ὑποκάτω τῆς συκῆς αὐτοῦ, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν. δῆλον γὰρ ὅτι οἱ ὑπὸ τὴν τοῦ πνεύματος προσφυγόντες καὶ ἀναπαυσάμενοι, καὶ τὴν τοῦ λόγου σκέ- D πην, οὐ δειλιάσουσιν, οὐδὲ πτυρήσονται τὸν ταράσσοντα τὰς καρδίας· ὅτι γὰρ καὶ ἡ ἐλαία τὴν ἐπὶ Μωσέως αἰνίσσεται νομοθεσίαν, ὁ Ζαχαρίας παρίστησιν, οὕτω λέγων· καὶ ἐπέστρεψεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ, καὶ ἐξήγειρέ με, ὃν τρόπον ὅταν ἐξεγερθῇ ἄνθρωπος ἐξ ὕπνου αὐτοῦ, καὶ εἶπε πρός με· τί σὺ βλέπεις;

fructus in ſempiternum. Tunc quæ verè fructifera erant floruerunt, & produxerunt cibum in iuſtitiam. Refertur etiam, ídque ſæpe, vitis ad Chriſtum Dominum, ad Spiritum verò ſanctum ficus: quòd Dominus quidem corda exhilaret hominum; ſanctus verò Spiritus iis medeatur. Et propterea iubetur primùm Ezechias, maſsâ ficorum impoſitâ vlceri, hoc eſt fructu Spiritus curari, vt valetudinem reciperet, medicinâ nempe, iuxta Apoſtolum, caritatis. *Fructus enim*, inquit, *Spiritus caritas, gaudium, pax, patientia, bonitas, fides, manſuetudo, continentia*. Quas res ob ipſarum multam dulcedinem ficus Propheta vocauit. Et Michæas: *Et requieſcet vnuſquiſque*, inquit, *ſub vite ſuâ, & ſub ficu ſuâ, & non erit qui exterreat*. Certum enim eſt eos qui ſub ſancti Spiritus vmbram velut ſacræ ficus, & ſub Verbi, nempe myſticæ vitis, tegmen atque aſylum confugerint, in eóque acquieuerint, nullâ puſillanimitate tentandos, nullo terrore conſternandos turbatoris cordium diaboli. Porrò legem Moſis, oliuæ deſignari ſymbolo Zacharias docet, ſic dicens. *Et reuerſus eſt Angelus qui loquebatur in me, & ſuſcitauit me, quaſi virum qui ſuſcitatur de ſomno ſuo; & dixit ad me: Quid tu vides?*

4. Reg. 20. 7.

Mich. 4. 4.

Zach 4.

A *Et dixi : vidi , & ecce candelabrum aureum totum , & lampas ſuper ipſum. Et duæ oliuæ, vna à dextris lampadis eius, & vna à ſiniſtris.* Et poſt pau-
v. 11. 12. 14. ca, interroganti Prophetæ quid eſſent *duæ oliuæ ad dexteram candelabri , & ad ſiniſtram eius* ; & quid eſſent *duo rami oliuarum , qui ſunt in manibus duorum roſtrorum :* reſpon-
B dit & dixit Angelus : *Iſti ſunt duo filij pinguedinis , qui aſſiſtunt domino vniuerſæ terræ.* Duas innuens primogenitas virtutes eſſe, aſſiſtentes Deo. Quæ in domo circa funiculum per ramos ſubminiſtrant ſpirituale oleum Deo, vt lumen habeat diuinæ cognitionis. Duo
C enim rami duarum oliuarum, lex ſunt & Prophetæ, qui circa funiculum hereditatis vocati ſunt : quos germinauit Chriſtus & Spiritus ſanctus : non valentibus adhuc nobis capere fructum totum, & magnitudinem plantarum harum ; priùs quàm regnaret in mundo caſtitas : ſed ramos ipſarum ſolos,
D Legem videlicet & prophetiam priùs excoluimus, idque ſegniter, ſæpe prolabentes. Quis enim Chriſtum aut ſpiritum perfectum valuit capere vmquam , qui non ſe purgaſſet primùm? Nam quæ ad gloriam deſiderabilem, & amabilem à

A καὶ εἶπα· ἑώρακα, καὶ ἰδοὺ λυχνία χρυσῆ ὅλη, καὶ τὸ λαμπάδιον ἐπάνω αὐτῆς, καὶ δύο ἐλαῖαι, μία ἐκ δεξιῶν τοῦ λαμπαδίου αὐτῆς, καὶ μία ἐξ εὐωνύμων. καὶ μετ' ὀλίγα· καὶ τίνες εἰσὶν ἑρμηνεύου αἱ ἐλαῖαι τοῦ προφήτου αἱ ἐκ δεξιῶν τῆς λυ-
B χνίας, καὶ αἱ ἐξ εὐωνύμων, καὶ τί οἱ δύο κλάδοι τῶν ἐλαιῶν οἱ ἐν ταῖς χερσὶ τῶν δύο μυξωτήρων, ἀπεκρίθη καὶ εἶπεν ὁ ἄγγελος· οὗτοι οἱ δύο υἱοὶ πιότητος, οἳ παρεστήκασι τῷ κυρίῳ πάσης τῆς γῆς· τὰς δύο λέγων ἀρχεγόνους δυνάμεις εἶναι, τὰς δορυφορούσας τὸν Θεόν· αἱ ἐν τῷ οἴκῳ περὶ τὸ
C σχοίνισμα διὰ τῶν κλάδων ἐπιχορηγοῦσαι τὸ πνευματικὸν ἔλαιον τῷ Θεῷ, ἵνα φῶς ἔχῃ θείας γνώσεως. οἱ γὰρ δύο κλάδοι τῶν δύο ἐλαιῶν, ὁ νόμος εἰσὶ καὶ οἱ προφῆται, οἱ περὶ τὸ σχοίνισμα τῆς κληρονομίας ἐπικληθέντες, οὓς ἐβλάστησεν ὁ Χριστὸς, καὶ τὸ πνεῦμα τὸ ἅγιον, οὔπω
D δυναμένων ἡμῶν χωρῆσαι τὸν καρπὸν ὅλον, καὶ τὸ μέγεθος τῶν φυτῶν τούτων, πρὶν ἄρξαι τοῦ κόσμου, καὶ βασιλεῦσαι τὴν ἁγνείαν· ἀλλὰ τοὺς κλάδους αὐτῶν μόνους, τὸν νόμον οἱονεὶ καὶ τὴν προφητείαν, πρόσθεν ἐγεωργήσαμεν, καὶ ταῦτα μετρίως, πολλάκις διολισθήσαντες. τίς γὰρ Χριστὸν ἢ τὸ πνεῦμα τέλειον ἴσχυσε χωρῆσαί ποτε, μὴ καθαρεύσας πρῶτον; ἡ γὰρ πρὸς εὐδοξίαν ἐπιθυμητήν τε καὶ ἐραστὴν ἐκ

παίδων ἐργαζομένη τὴν ψυχὴν A ἄσκησις, καὶ τὸν κόσμον αὐτῇ τοῦτον μετὰ ῥᾳστώνης ἀβασάνιστον ἐκεῖ διακομίζουσα, καὶ μικρῶν αἱρουμένη πόνων μεγάλας ἐλπίδας, ὅστιν ἡ ἀθανατοποιὸς τῶν σωμάτων ἡμῶν ἁγνεία, ἣν δεῖ πάντας ἀσμένως διαφερόντως προτιμᾶν καὶ αἰνεῖν. τοὺς μὲν B ὅτι δι' αὐτὴν ἐνυμφαγωγήθησαν τῷ λόγῳ παρθενίαν ἀσκήσαντες· τοὺς δὲ ὅτι πρὸς αὐτῆς ἠλευθερώθησαν τῆς, γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ, κατακρίσεως. Οὗτος, ὦ Ἀρετή, καὶ ὁ παρ' ἐμοῦ σοι, καθόσον ἐγὼ δύναμαι, λόγος ὑπὲρ ἁγνείας· ὃν C ἀξιῶ, κἂν μέτριος ᾖ, δέσποινα, καὶ ὀλίγος, προθυμότατά σε δέξασθαι παρ' ἐμοῦ τελευταίαν λέγειν ᾑρημένην.

